ἂν εἴποιμεν τοὺς ἐνδόξους καὶ θαυμαστοὺς τούτους ἁγίους τοῦτο τὸ ἀσεβὲς καὶ ἐν τοιαύτῃ ὥρᾳ καὶ τόπῳ κελεῦσαι γενέσθαι· πῶς γὰρ ἤμελλον οἱ ἀπαύστους καὶ παραδόξους θεραπείας ἐκτελοῦντες καὶ μισθοῦ χωρὶς τὰ ἀνίατα πάθη τῶν ἀνθρώπων ἰώμενοι, ὡς ἄφθονον ἔχοντες τὴν φιλοτιμίαν ἐκ τῶν ἀμέτρων χαρισμάτων τῶν ἐκ θεοῦ δωρηθέντων αὐτοῖς, ὡς ἀδυνάτως ἔχοντες τὸ προσὸν αὐτῷ πάθος θεραπεῦσαι τοῦτο προστάξαι τὸ μύσος ἠνείχοντο;' τοῦ δὲ συνεχομένου ἀσθενοῦς ἐκ τῆς ψυχικῆς καὶ σωματικῆς ὀδύνης καὶ ἐν ἀμηχανίᾳ ἐξεταζομένου καὶ εἰς| 380 *αὐτὴν τὴν σωτηρίαν τῆς ζωῆς κινδυνεύοντος, προβαλλομένου δὲ τὴν τῶν ἁγίων πρόσταξιν καὶ αὐτοὺς εἰς μαρτυρίαν τῶν ἰδίων λόγων φέροντος πρὸς πληροφορίαν τῶν αἰκιζόντων αὐτόν, ὡς ἂν αὐτοὶ ἱκανοὶ ὑπάρχοντες τοὺς ἀπειθεῖς πιστώσονται καὶ τοῦτον ἐξελοῦνται κινδύνου, οἱ τοῦ Χριστοῦ θεράποντες Κοσμᾶς καὶ Δαμιανὸς ἀρκοῦσαν αὐτῷ τὴν ἐκ τῆς παρακοῆς τιμωρίαν ὁρίσαντες, λυτρούμενοι δὲ αὐτὸν τοῦ λοιποῦ καὶ τῆς ἀπατηλῆς καὶ ἐπιβλαβοῦς τοῦ ἱπποδρομίου θέας, τῇ οἰκείᾳ σοφίᾳ τε καὶ ἐνεργείᾳ καταμαλάξαντες μᾶλλον δὲ καὶ ἀπαλύναντες τὸ τραχὺ καὶ ἀπηνὲς τῶν συλλαβομένων τὸν ἀσθενοῦντα, ἐπὶ τὴν θεραπείαν αὐτοῦ ὥρμησαν. φησὶν γάρ, οἱ ἀποκαλούμενοι τὸν ὑπ' αὐτῶν κατασχεθέντα φαρμακὸν οἰκείᾳ προθέσει ἐκ τῆς τῶν ἁγίων ἐνεργείας προέτειναν αὐτῷ ταῦτα· ʻεἰ θαρρεῖς ἑαυτῷ καὶ τοὺς οἰκείους λόγους ἀληθεῖς ἐπίστασαι καὶ τῶν ἐνδόξων ἁγίων καὶ μεγάλων ἰατρῶν Κοσμᾶ καὶ Δαμιανοῦ παράγγελμα τοῦτο λέγεις εἶναι, ὅπερ ἐπιφέρεις* 382

φ.] *ἔκρινον φάσκοντες* B^1 | 74 *εἴποι* V^{17} *τις εἴποι* M^1 | *τοὺς — καὶ* fehlt in V^7 | *τῶν ἐνδόξων καὶ θαυμαστῶν τούτων τῶν ἁγίων* C^1 | *θαυματουργοὺς* C^2 | *τούτους* vor *καὶ* P^5 v M^1 | 75 *καὶ* vor *ἐν* fehlt in P^5 v | *τοιαύτῃ*] *τῇ* C^2 | mit *ὥρᾳ καὶ* bricht B^1 ab | *ἐν τῷ* vor *τόπῳ* zugefügt in C^2 | *κελεύσει* C^1 | 76 *ἔμελλον* V^1 P^5 v M^1 *ἔλεγων* C^2 | *ἐπιτελοῦντες* P^{45} v C^2 | *καὶ* vor *μισθοῦ* fehlt in V^{28} | 78 *ἀμετρήτων* P^4 C^1 | *τοῦ* vor *θεοῦ* zugefügt in V^7 | 79 *ἢ* vor *ὡς* zugefügt in C^2 | *αὐτῷ*] *αὐτοῦ* C^2 *αὐτοῖς* V^2 | 80 *πρὸσέταξεν* C^1 *πρᾶξαι* V^1 P^5 v M^1 | *τὸ μίσος* vor *προστ.* V^7 | *ἠνείχοντο* fehlt in P^4 C^1 | *ἀσθ. συνεχ.* P^5 v | 81 *καὶ* vor *ἐν* fehlt in V^7 C^2 | 82 *ζωῆς*] *ψυχῆς* P^4 | *δὲ*] *τε* V^7 | *αὐτοῦ* nach *δὲ* zugefügt in P^5 v | 83 *αὐτοῖς* P^5 v | *τὸν ἴδιον λόγον* C^1 | 84 *αἰκιζόντων*] *ἐκζητούντων* V^{28} | *αὐτῶν* V^7 *αὐτῷ* C^1 | *ἂν* fehlt in P^4 C^1 | 85 *πιστώσωνται* V^{27} P^5 v *πιστώσασθαι* P^4 C^1 | *τοῦτον*] nach *κινδ.* V^1 M^1 *αὐτὸν* P^4 C^1 | *ἐξέλωνται* V^7 P^5 *ἐξελεῖν* P^4 C^1 | *κινδύνων* V^1 *τῶν κινδύνων* P^5 v M^1 *τοῦ κινδύνου* C^2 | 86 *δὲ* nach *οἱ* zugefügt in C^2 | *Χριστοῦ*] *θῦ* V^7 | *θεραπευταὶ* M^1 | 87 *δὲ* fehlt in P^4 C^{12} | 88 *ἀπατηλοῦ* P^4 C^{12} *ἀπατιλοῦς* V^7 | *θέας* vor *τοῦ* P^5 v M^1 | 89 *κατὰμάξαντες* C^1 | *μᾶλλον — ἀπαλύναντες* fehlt in P^4 C^1 | 90 *τῶν — ἀσθενοῦντα* fehlt in C^2 | 91 *φησὶν* fehlt in P^4 C^1 | *οἱ γὰρ* P^4 C^1 | *ἀποκαλοῦντες* P^4 C^1 *ἐπικαλούμενοι* C^2 | 92 *συσχεθέντα* P^5 v M^1 | *οἰκ. προθ.* fehlt in P^4 C^1 | 93 *προέτεινον* V^1 P^5 v M^1 | *αὐτῷ* fehlt in P^5 v | *σεαυτῷ* V^1 P^5 v M^1 *εν αὐτῶ* V^7 | 94 *λόγους* nach *ἐπίστασαι* C^1 | 95 *Κ. κ. Δ.* fehlt in M^1 | *τοῦτο παράγγ.* P^4 | *ὅπερ — ἡμῶν* (96)] *τὴν κεδραίαν ἥνπερ ἔφης ἔχειν ἐν τῷ ἀγγίῳ, ἡμῶν ὁρώντων* P^4 *τ. κ. εἶναι ἔφησεν τῷ*

σκεῦος ἐπ' ὄψεσιν ἡμῶν λαβὼν πίε τὸ ἐν αὐτῷ, καὶ δὴ ἀφεθήσῃ παρ' ἡμῶν, ἐκφεύγων τὸν προκείμενόν σοι κίνδυνον, ὡς πιστωσάμενος ἡμᾶς.' ταῦτα παρ' αὐτῶν ἀκούσας ὁ πάσχων καὶ γνούς, ὅτι ἡ τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ δύναμις καὶ τὸ πρῶτον διὰ τὴν παρακοὴν αὐτοῦ καὶ τὸ δεύτερον διὰ τὴν θεραπείαν τῆς νόσου καὶ τῆς θέας τοῦ ἱππικοῦ οὕτως ἐκυβέρνησαν, καὶ ἀσμένως δεξάμενος τὴν ἐκείνων πρόσταξιν, λαβὼν παρ' αὐτῶν τὸ σκεῦος, ἐν ᾧ ἦσαν αἱ τρεῖς κράσεις τῆς κεδραίας, ταύτας δρώντων αὐτῶν ἔπιεν. καὶ παρευθὺ τὸ ὂν κατὰ τοῦ στήθους αὐτοῦ ἀπόστημα ἐμέτου γενομένου συμμαχίᾳ τῶν θαυμαστῶν τούτων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ (οὐδὲ γὰρ τῇ πόσει τῆς κεδραίας) διερράγη, καὶ ὑγιὴς ἑκατέρωθεν γενόμενος ἔφθασεν χαίρων τὸν πολυθρύλητον τῶν ἁγίων τοῦτον οἶκον, κηρύττων πᾶσιν τὰς καὶ εἰς αὐτὸν
384 γενομένας| ψυχικὰς καὶ σωματικὰς εὐεργεσίας καὶ παραγγέλλων πᾶσιν· 'μηδεὶς τῆς τῶν ἐνδόξων ἁγίων καὶ θεραπόντων τοῦ Χριστοῦ Κοσμᾶ καὶ Δαμιανοῦ κελεύσεως ἤτοι ἐπιταγῆς παρακούσῃ, ἵνα μὴ πάθῃ τοιαῦτα', ὅσα ἐκεῖνος δῆθεν ὑπέμεινεν. καὶ ἀποταξάμενος τῆς τοῦ ἱππικοῦ θέας εὐφραινόμενος καὶ ὑγιαίνων εἰς τὸν οἶκον αὐτοῦ ἀπῆλθεν, τὸν πάντα αὐτοῦ τῆς ζωῆς χρόνον τῇ ἁγίᾳ τοῦ θεοῦ προσεδρεύων ἐκκλησίᾳ καὶ δοξάζων τὸν θεὸν τὸν διὰ τῶν θεραπόντων αὐτοῦ ἁγίων

ἀγγίω ἡ. ὁρμόντων C^1 | ἐπιφέρει V^2 ἐπιφέρῃ v | 96 σκεῦος fehlt in C^2 | τὸ — αὐτῷ fehlt in $P^4 C^1$ | ὑπάρχων nach αὐτῷ zugefügt in V^{28} | δὴ fehlt in $P^4 C^{12}$ | ἀφεθήσει C^2 ἀφεθεὶς C^1 αφέθητι V^7 | 97 ἐκφεύγων — ἡμᾶς] καὶ ἐκ τῆς κρατούσης ἀπαλλαγεὶς νόσου· καὶ διὰ τῆς τοῦ σώματος ὑγείας ἐπιδείξεις, ὡς αὐτῶν τούτων (αὐτὸν τοῦτο) ὑπῆρχέν σου (σοι) τὸ ἐπίταγμα P^4 (C^1) | τῶν προκειμένων σοι κινδύνων C^2 | ὡς fehlt in C^2 | ἐπεὶ ἀμήχανόν σοί ἐστιν ἐκφυγεῖν ἡμῶν τὰς χεῖρας nach ἡμᾶς zugefügt in P^5 v | 98 ἡ nach Δαμ. (99) C^2 | 99 Κ. κ. Δ. fehlt in $V^1 M^1$ | τὸ fehlt in V^7 | τῆς παρακοῆς $V^1 M^1$ | 100 τ. θέας] τὸ τρίτον διὰ τὴν θέαν v | 101 ἐκυβέρνησεν V^1 | καὶ] οὐκ P^5 v M^1 | ἄσμενος P^5 v M^1 ἀσμένος $V^7 C^2$ | δεξάμενος fehlt in M^1 | πρότασιν $V^7 P^4 C^2$ | 102 κράσεις nach κεδραίας $V^7 P^4 C^{12}$ | 103 παρευθὺ] παραχρῆμα $P^4 C^1$ | ὂν fehlt in V^{28} | τοῦ fehlt in C^2 | 104 καὶ ἐνδόξων nach θαυμαστῶν zugefügt in P^5 v | ἁγ. τούτ. C^1 | 105 Κ. κ. Δ. fehlt in $V^1 P^5$ v M^1 | οὐδὲ γὰρ] fehlt in $P^4 C^2$ οὐ γὰρ V^{28} | 106 καὶ fehlt in P^5 | ἑκατ. γεν. fehlt in C^1 | γενάμενος V^7 | ἔφθασεν] ἀπῆλθεν $P^4 C^1$ | χαίρων fehlt in V^7 | εἰς vor τὸν zugefügt in $P^4 C^1$ | πολυθρύλλητον $V^1 P^4$ v $M^1 C^1$ | 107 τοῦτω V^7 τούτων die übrigen Hss | κηρύσσων V^{28} | καὶ fehlt in $V^7 C^2$ | 108 γεναμένας M^1 | τε nach ψυχ. zugefügt in V^{28} | καὶ vor παραγγ. fehlt in $V^{28} C^2$ | καὶ λέγων nach πᾶσιν zugefügt in P^5 v M^1 | 109 μηδεὶς fehlt in $P^4 C^1$ | ἁγ. ἐνδ. $V^1 P^5$ v $M^1 C^1$ | Χριστοῦ] θῦ V^8 | 110 παρακούσῃ] μὴ παρακούειν C^1 μὴ παρακρούων P^4 | τοιαῦτα πάθῃ v | τὰ vor τοιαῦτα zugefügt in V^2 | τοσαῦτα P^4 | 111 ὅσα — ὑπέμεινεν fehlt in P^5 v | δῆθεν fehlt in $M^1 C^2$ | ἔκτοτε nach καὶ zugefügt in P^5 v | ἱπποδρομίου $V^{28} C^1$ | 112 ὑγιαίνων] ὑγιεὶς γεγονὼς C^2 | ἀπῆλθεν vor εἰς P^5 v | 113 ἅπαντα P^5 v C^1 | χρ. τῆς ζ. αὐ. P^5 v | τῆς ζ. αὐ. C^1 | καθολικῇ vor τοῦ zugefügt in V^7 | 114 καὶ fehlt in C^1 | τὸν διὰ fehlt in V^7 | ἁγ..

Κοσμᾶ καὶ Δαμιανοῦ τὴν τοιαύτην αὐτῷ σωτηρίαν χαρισάμενον. ὁρᾶτε τοίνυν, φιλόχριστοι, ποῖα καὶ πόσα καὶ πηλίκα ὑπάρχει τὰ τῶν ἁγίων τούτων καὶ μεγάλων ἰατρῶν χαρίσματα, μᾶλλον δὲ κατορθώματα. ὅθεν ἡ τῶν ἰαμάτων αὐτῶν ὑπερβάλλουσα χάρις τε καὶ δύναμις προτρέπεταί μου τὸν νοῦν, τρανοῖ τὴν γλῶτταν, διεγείρει τὴν διάνοιαν καὶ ἄγει εἰς ἑτέρου θαύματος αὐτῶν διήγησιν. ὅθεν ἀκούοντες, πιστότατοι, καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συνήθως δοξάσατε καὶ τοὺς αὐτοῦ θεράποντας ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν λίαν ἀνυμνήσατε.

Wunder 12 (27)

περὶ Μάρθας, ὅπου τὸ ἀκάθαρτον πνεῦμα 494

γυνὴ γάρ τις ὀνόματι Μάρθα, ἥτις τὴν ἀκμὴν τῆς ἡλικίας αὐτῆς ἐν ἀταξίᾳ τοῦ σώματος ἐξ ἀγνοίας διανύσασα καὶ τῷ τῆς λαγνείας πάθει ῥυπώσασα (ἦν γὰρ σφόδρα εὐπρεπής), εἶτα ἐπιγνοῦσα τὸ δέον καὶ λοιπὸν ἐκ τοῦ πελάγους τῆς ἀσωτίας εἰς τὸν εὔδιον λιμένα τῆς σωφροσύνης ὁρμήσασα καὶ τὴν σεμνότητα μετὰ εὐσεβείας διώκουσα, δυσωποῦσα δὲ τὸν κύριον τὸν πάντας ἐν ἐπιγνώσει δεχόμενον καὶ λέγουσα αὐτῷ τὸ 'ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς', τῷ θαυμαστῷ ἰατρείῳ τῶν ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ προσέφυγεν|. ἐκ παιδόθεν δὲ καὶ ἐκ προγόνων ἐπεσπάσατο ἀεὶ τὴν 496
αὐτῶν προστασίαν. ἐκ γὰρ τῆς τῶν Κυρρεστικῶν μερῶν τῆς ἀνατολῆς ἐτύγχανεν ὁρμᾶσθαι, ἔνθα τὰ τίμια λείψανα τῶν θαυμαστῶν τούτων ἁγίων καὶ θεραπόντων τοῦ Χριστοῦ Κοσμᾶ καὶ Δαμιανοῦ ἀπόκεινται· ἐν αὐτῷ τῷ τόπῳ καὶ τῆς τοῦ ἁγίου φωτίσματος ἠξιώθη χάριτος. ταύτην συνέβη καταλαβοῦσαν τὴν βασιλίδα ταύτην

12, 7 Ps. 24 (25),7

αὐ. θερ. P^5v *ἁγ. καὶ θερ. αὐ.* C^2 | 115 *Κ. κ. Δ.* fehlt in $V^1 M^1$ | *τοιαύτην*] *αὐτὴν* C^1 | *χαρισαμένῳ* $V^{128} M^1 C^2$ | 116 *ὁρᾶτε — ἀνυμνήσατε* (122) fehlt in M^1 *ὁρᾶτε — κατορθώματα* (117) in P^5v | *φίλοι* $\overline{χυ}$ C^1 | *οἷα* V^{17} | *πόσα*] *ποῖα* V^7 | *πηλίκα*] *ποικήλας* C^2 | 118 *ὑπερβάλλουσα* fehlt in C^2 | *χάρις τε καὶ* fehlt in V^7 *τε κ. δύν.* in P^5v | 119 *γλῶσσαν* P^{45}vC^1 | 120 *καὶ* vor *εἰς* zugefügt in P^5v | *αὐτοῦ* C^1 | *ὅθεν — ἀνυμνήσατε* (122) fehlt in P^5v | *ὅθεν*] *ὅπερ* V^7 | *ἀκούσαντες* V^7 | *πιστοὶ* C^1 *πιστῶς* V^7 | 121 *συνήθως* fehlt in C^1 | *δοξάσητε* V^{128} | 122 *αὐ. θερ.*] fehlt in V^7 *θερ. αὐ.* V^1 | *ἁγίους — λίαν* fehlt in C^1 | *ἁγίους* vor *αὐτοῦ* P^4 vor *θερ.* C^2 | *λίαν* fehlt in $V^1 C^2$ | *ἀνυμνήσητε* V^{128} *ὑμνεῖσατε* C^2 | *σὺν τῷ* $\overline{πρι}$ *καὶ τῷ* $\overline{υω}$ *καὶ τῷ ἁγίῳ* $\overline{πνι}$ *εἰς τοὺς αἰῶνας ἀμήν* nach *ἀνυμνήσατε* zugefügt in C^1 || Wunder 12 Hss: $V^1 C^2$ Titel *τῆς* vor *Μάρθας* zugefügt in C^2 | 1 *γὰρ* fehlt in C^2 | *τὴν* fehlt in C^2 | *αὐτῆς* fehlt in C^2 | 2 *καὶ — ῥυπώσασα* (3) fehlt in C^2 | 4 *ἀσωτίας*] *ἁμαρτίας* C^2 | 9 *τοῦτο σικῶ* nach *προσέφυγεν* zugefügt in V^1 | *δὲ*] *τε* V^1 | *ἐπεσπάσατο*] *ἐπεκαλεῖτο* C^2 | 10 *ἐκ γὰρ τῶν τῆς ἀνατ. μερ. ἐτύγχ. ἔνθα* C^2 | *κυρεστηκῶν* V^1 | 14 *ἠξ. χάρ.*] *ἀξιωθῆσα*

καὶ φιλόχριστον πόλιν ἀσθενείᾳ τινὶ ἐκ τοῦ κρανίου περιπεσεῖν καὶ διὰ τοῦτο θᾶττον τὴν αὐλὴν ταύτην τῶν ἁγίων, ὡς εἴρηται, φθάσαι. ἐν ὅσῳ τοίνυν τὰ τῆς ἰάσεως ὑπὸ τῶν κοινῶν εὐεργετῶν ἐλάμβανεν, τῆς πρὸς τοὺς πτωχοὺς μεταδόσεως οὐκ ἀφίστατο, ἀλλὰ καὶ τὰς ἐν πάθει ὑπὸ τοῦ ἐχθροῦ κυριευθείσας γυναῖκας, μετὰ τὴν βάσανον τοῦ λόγου ἔμφρονας γινομένας, ἐκάλει ἐν τῇ κορτίνῃ αὐτῆς (εἶχεν δὲ τὴν δίαιταν ἐν τῷ ἀριστερῷ ἐμβόλῳ τοῦ κατηχουμενίου τοῦ ἐν τῷ ἐξαέρῳ) καὶ φιλοφρόνως δεχομένη ἐθεράπευεν καὶ ἐδωροφόρει καὶ πᾶσαν τὴν ἄλλην ἐπιμέλειαν ἐπ' αὐταῖς ἐνδεικνυμένη, ὥστε ἀνεπαίσθητον αὐταῖς γίνεσθαι τὴν συνέχουσαν αὐτὰς ὑπὸ τοῦ ἀντιπάλου ὀδύνην. καὶ
498 *ἁπλῶς πρὸς τὸ | ἀσθενὲς καὶ ὁμόφυλον καὶ εὐόλισθον τῶν γυναίων ἀφορῶσα παντοίαν αὐτῶν κηδεμονίαν ἐσπούδαζεν ἑκάστοτε ποιεῖσθαι, ὡς ἂν καὶ ἐντεῦθεν τοὺς ἐνδόξους ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν θεραπεύουσα τῆς οἰκείας ἀσθενείας σύντομον λάβοι τὴν ἴασιν· ὅπερ καὶ γέγονεν. ὀλίγων γὰρ διαδραμουσῶν ἡμερῶν ἔρχονται οἱ ἅγιοι ἐν νυκτὶ καὶ ἐπ' ὄψεσιν ταύτης δέδωκαν τῇ πλησίον αὐτῆς ἀνακειμένῃ ἑτέρᾳ γραΐδι ἀσθενούσῃ πιττάκιον μικρὸν καὶ ἀνεχώρησαν. ταύτης δὲ τοῦτο θεασαμένης καὶ ἐξύπνου γενομένης, ὡς ἔχουσα τὴν ἐκ πίστεως συνήθειαν πρὸς τοὺς θεράποντας τοῦ Χριστοῦ ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἤρξατο ἀγανακτεῖν κατ' αὐτῶν καὶ καταβοᾶν, ὡς τὴν μὲν πλησίον αὐτῆς δῆθεν ἐπισκεψαμένων, αὐτὴν δέ, καὶ ταῦτα πολλὴν πληροφορίαν ἔχουσαν πρὸς αὐτούς, παριδόντων. πρωίας δὲ γενομένης ὁρᾷ ἐν τῷ αὐτῷ κατηχουμενίῳ κράββατον, κηροὺς καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν ἔξοδον τῶν τελευτώντων ἐπιτήδεια. εἶτα ἐρωτήσασα ἔμαθεν, ὅτι ἡ πλησίον αὐτῆς ἀνακειμένη γυνὴ τὸ κοινὸν τῶν ἀνθρώπων ἀπηνέγκατο τέλος, ἐπιγνοῦσά τε, ὅτι οἱ τοῦ Χριστοῦ δοῦλοι τοῦ*
500 *πληρώματος τῆς ζωῆς τῆς | ἀπελθούσης ἔδωκαν τὸ πιττάκιον, χαριέντως καὶ θαρροῦσα τῇ ἐλεημοσύνῃ καὶ τῇ ἀγαθότητι τῶν ἁγίων ἔκραξεν· 'δεσπόται καλοὶ καὶ μεγάλοι ἰατροί, ἐγὼ ζῆσαι θέλω, καὶ τέως μὴ ἔλθετε πρός με· ὑγιᾶναι παρακαλῶ καὶ τοιούτου πιττακίου χρείαν οὐκ ἔχω.' ταῦτα δὲ πρὸς τοὺς ἐνδόξους ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἐπ' ὄψεσιν πάντων ἀφορῶσα πρὸς τὴν δόσιν τοῦ πιττακίου ἔλεγεν.*

---

vor *φωτίσματος* (18) C^2 | 16 *ταύτην* nach *ἁγίων* C^2 | 17 *ἁγίων* nach *εὐεργετῶν* zugefügt in C^2 | 21 *κατηχουμένου* C^2 | 22 *ἐδωρυφόρει* C^2 | *καὶ* vor *πᾶσαν* fehlt in C^2 | 23 *ἐπ' αὐτὰς* C^2 | 25 *γυναικῶν* C^2 | 26 *ἐσπούδαζεν*] *ἐποίει* C^2 | *ποιεῖσθαι* fehlt in C^2 | 29 *ἡμ. διαδρ.* C^2 | 30 *ταύτης*] *αὐτῆς* C^2 | *δεδωκότες* C^2 | 31 *ἑταίρᾳ* V^1 | *καὶ* fehlt in C^2 | 32 *γεναμένης* C^2 | *τὴν* fehlt in C^2 | 33 *ἀπελθοῦσα* vor *πρὸς* zugefügt in C^2 | 36 *παρηδῶτας* C^2 | *γεναμένης* C^2 | 37 *τόπῳ* nach *κατηχουμενίῳ* zugefügt in V^1 | *καὶ* vor *κηροὺς* zugefügt in C^2 | 39 *κειμένη* C^2 | 40 *δοῦλοι τοῦ*] *φίλοι* C^2 | 41 *τῇ ἀπιούσει δεδώκασι* C^2 | *δὲ* nach *χαριέντως* zugefügt in C^2 | 44 *τοιούτου* fehlt

ἐπιλαβομένης τοίνυν ἑτέρας νυκτὸς φαίνονται αὐτῇ οἱ μεγάλοι ἰατροὶ καὶ θεράποντες τοῦ Χριστοῦ μειδιῶντες τῷ προσώπῳ καὶ λέγοντες· ʽδιὰ τί πολλὰ λαλεῖς καὶ ἐξ ὀλιγωρίας τὰ μὴ δέοντα μηδὲ συμφέροντά σοι διανοῆσαι; τί ἔχεις, τί πονεῖς;ʼ ὢ τοῦ θαύματος, ὢ τῆς τῶν ἁγίων ὑπερβαλλούσης ἀνεξικακίας καὶ ἀγαθότητος· οἱ πάντα γινώσκοντες ἐκ τοῦ δοθέντος αὐτοῖς ὑπὸ Χριστοῦ χαρίσματος καὶ πάντα εἰδότες καὶ σοφῶς περιοδεύοντες τὸ γύναιον ἠρώτων· ʽτί ἔχεις, τί πονεῖς;ʼ καὶ ἁπλῶς πρὸ τοῦ μάθωσιν παρὰ τῆς ἀσθενούσης ἅπερ ἠπίσταντο, κρατήσαντες αὐτῆς τὸ ἥμισυ τοῦ κρανίου καὶ ἐν τῷ ἑνὶ μέρει τῆς ῥινὸς τῷ δακτύλῳ ἠρέμα κρούσαντες τοῦ ἑνὸς μέρους τοῦ κρανίου παρευθὺ τὴν ὀδύνην | αὐτῆς ἔπαυσαν, ἀμέτρου αἵματος διὰ τῆς ῥινὸς αὐτῆς 502 *ἐνεχθέντος. καὶ μὴ νομίσητε, πιστότατοι, ἁπλῶς καταλελεῖφθαι ὑπὸ τῶν ἐνδόξων ἁγίων τῇ πασχούσῃ ἑτέραν περιοδίαν, ἢ δίχα ἄλλης τινὸς σωτηρίας ὑπʼ αὐτῶν τῇ ἀσθενούσῃ πραγματευομένης ἐλλειπῶς γενέσθαι ὑπʼ αὐτῶν τὴν θεραπείαν. ἡ γὰρ ὑποκειμένη ὑπόθεσις παραστήσει ὑμῖν τὴν ἀλήθειαν· τῆς γὰρ ἀσθενούσης κουφισθείσης τῷ πλείστῳ μέρει τῶν ἀλγηδόνων, αἰσθανομένης δὲ καὶ ἑτέρας ὀδύνης τοῦ ἄλλου μέρους, ἐπιμενούσης τε τῇ κατὰ τῶν ἁγίων λοιδορίᾳ καὶ φασκούσης ὅτι· ʽοἱ τοῦ ἑνὸς μέρους τοῦ κρανίου μου τὴν ἴασιν παρασχόμενοι οὐκ ἠδύναντο καὶ τοῦ ἑτέρου μέρους τοὺς πόνους παῦσαιʼ· καὶ ταῦτα μὲν ἔκ τινος ἀθυμίας, θαρροῦσα δὲ πρὸς τοὺς ἁγίους ἔλεγεν, πολλὴν γὰρ πεποίθησιν ἐξ ἁπαλῶν ὀνύχων εἶχεν πρὸς αὐτούς. οὐκ ἐπαύετο δὲ τῆς θεραπείας καὶ παντοίας ἀναπαύσεως τῶν γυναικῶν τῶν τὰ ἀκάθαρτα πνεύματα ἐχουσῶν. καὶ ἀκούσατε, φιλόχριστοι, τὴν μὲν τοῦ μισοκάλου δαίμονος κατασκευήν, μᾶλλον δὲ ἀνίατον, ἵνα οὕτως εἴπω, ἐπιβουλήν, τῶν δὲ θεραπόντων τοῦ Χριστοῦ Κοσμᾶ καὶ Δαμιανοῦ σωτηριώδη τῆς | νοσούσης βοήθειαν. ὅρα γάρ, φησίν, ἡ* 504 *συνήθεια τῆς μετὰ πίστεως καλούσης τὰς ἐν πνεύμασιν ἀκαθάρτοις καθεστώσας γυναῖκας, μεθʼ ὧν καὶ ἤσθιεν, τὸν ἐνοικοῦντα ἐν μιᾷ γυναικὶ πασχούσῃ ὀνόματι Χριστίνῃ δαίμονα εἰς ἔρωτα κατʼ αὐτῆς ἔτρεψεν, ὥστε εἰς αὐτὴν χωρῆσαι. τοῦτο προβλεψάμενοι οἱ ἅγιοι ἔνδοξοι καὶ θεράποντες τοῦ Χριστοῦ Κοσμᾶς καὶ Δαμιανὸς καὶ*

---

in C^2 | 47 *ὄντος* nach *μεγάλοι* zugefügt in C^2 | 48 *κοσμὰς καὶ δαμιανὸς* nach *Χριστοῦ* zugefügt in C^2 | *καὶ* vor *λέγοντες* fehlt in C^2 | 51 *καὶ ἀγ. καὶ ἀνεξ.* C^2 | 52 *πάντα* nach *τοῦ* zugefügt in C^2 | *καὶ σοφ. περιοδ.* fehlt in C^2 | 53 *ἢ* nach *ἔχεις* zugefügt in C^2 | 56 *τ. κραν.* fehlt in C^2 | 57 *διὰ*] *ἐκ* C^2 | 59 *ἁγίων* fehlt in C^2 | *τινὸς ἄλλης* C^2 | 60 *ἐλλειπὲς* C^2 | 62 *ἡμῖν* C^2 | 63 *ἀλγινῶν* C^2 | 64 *τῆς . . . λοιδορίας* beide Hss | 65 *παρασχόμενοι* vor *τὴν* C^2 | 66 *τὸν πόνον* C^2 | 67 *δὲ*] *καὶ* vor *θαρροῦσα* C^2 | 69 *καὶ* nach *δὲ* zugefügt in C^2 | 71 *κατʼ αὐτῆς* nach *δαίμονος* zugefügt in C^2 | 73 *νόσου ἐπὶ βοήθειαν* C^2 | 76 *χριστῆνα* C^2 | 77 *πρὸσβλεψάμενοι* C^2 | *ἅγιοι*

προσδεξάμενοι τὴν πίστιν καὶ τὴν εἰς τοὺς δεομένους τῆς προσφυγούσης αὐτοῖς μετάδοσιν, ἐπιστάντες αὐτῇ ἐκ δευτέρου τῇ ἐπιούσῃ νυκτὶ εὐθὺς καὶ τοῦ ἑτέρου μέρους τῆς κεφαλῆς αὐτῆς τὴν ὀδύνην ἀφείλαντο. παρήγγειλαν δὲ Χριστίναν τὴν πάσχουσαν μηκέτι εἰσαγαγεῖν εἰς τὴν κορτίναν αὐτῆς, μηδὲ τοῦ λοιποῦ ὁραθῆναι αὐτῇ· ʻτὸ γὰρ ἐνοικοῦν ἐν αὐτῇ ἀκάθαρτον πνεῦμα ἐρασθέν σου τὴν κατά σου ἐπιβουλὴν ἐργάζεται. ἀλλὰ μηδὲ ἐν τῷ ἀριστερῷ τοῦ ἐξαέρου τοῦ θυσιαστηρίου κίονι, ἔνθα ἡ αὐτὴ Χριστίνα λόγον δίδωσιν, ἀπέλθῃς, συντόμευσον δὲ διὰ τὸν ἀδελφὸν ἡμῶν, τὸν πρωτομάρτυρα Στέφανον, ἀπελθεῖν ἐν τῷ ἰδίῳ οἴκῳ ἐν εἰρήνῃ.ʼ ἔλαχεν γὰρ γυναῖκα αὐτὴν
506 ὑπάρχειν ἑνὸς τῶν κληρικῶν τοῦ ἁγίου ἐνδόξου | μάρτυρος Λαυρεντίου. ἵνα δὲ μὴ φαντασίαν τὴν τῶν ἁγίων παράστασιν νομίσειέν τις, ὅπερ τῶν πάνυ λίαν ἀφρόνων ὑπάρχει· ἡ μὲν τῆς σωτηρίας διὰ τῶν ἁγίων τυχοῦσα ἠσφαλίσατο ἑαυτὴν πρὸς τὰ λεχθέντα αὐτῇ ὑπὸ τῶν κοινῶν καὶ ἀγαθῶν ἰατρῶν πρὸς τὸ ὑπαναχωρῆσαι τοῦ ἐνδόξου αὐτῶν οἴκου, ὄρθρου δὲ γενομένου ἀνέρχεται ἡ πάσχουσα Χριστίνα καὶ ἠβούλετο εἰς τὴν κορτίναν αὐτῆς εἰσελθεῖν. ἠγωνία γὰρ τὸ ἐν αὐτῇ οἰκοῦν ἀκάθαρτον πνεῦμα τοῦ σπουδαζομένου ἐντὸς γενέσθαι καὶ ἐπιβουλεῦσαι τῇ τῆς ἰάσεως τυχούσῃ, καὶ δεινῶς ἤλαυνεν τὴν πάσχουσαν ὁ ἐχθρὸς τῶν ἀνθρώπων πληττόμενος ἐπὶ τῇ κατ' αὐτοῦ ὑπὸ τῶν ἁγίων γενομένῃ κατασκευῇ. ἐδεδίει γὰρ ὁ εἰς πονηρίαν πλούσιος, μήπως τῆς γυναικὸς ὑπὸ τῶν ἁγίων ἀπολυθείσης ματαιωθῇ, ὥσπερ οὖν καὶ κατῃσχύνθη ἡ ὑπ' αὐτοῦ κατὰ τῆς πιστῆς γυναικὸς τεκταινομένη κακία καὶ ἐπιβουλή. ὡς δὲ οὐ συνεχώρησαν τὴν πάσχουσαν εἰσελθεῖν εἰς τὴν κορτίναν οἱ παραφυλάττοντες τὸν τόπον, ἤρξατο κράζειν τὸ ἀκάθαρτον πνεῦμα· ʻὦ ἀπὸ Κοσμᾶ καὶ Δαμιανοῦ· μὴ γὰρ οὐκ οἶδα, Μάρθα,
508 ὅτι αὐτοί σοι παρήγγειλαν μὴ συγχωρῆσαί | μοι μηκέτι εἰσελθεῖν πρός σε;ʼ ταῦτα τοῦ ἀκαθάρτου πνεύματος κράζοντος καὶ ἐλέγχοντος μᾶλλον δὲ δημοσιεύοντος τὴν κατὰ τῆς ἐλεηθείσης ὑπὸ τῶν ἁγίων ἰδίαν αἰσχύνην ἡ Χριστίνα ἔμφρων γενομένη κλαίουσα ἐδέετο διά τινων τῆς πιστῆς γυναικὸς οἰκτιρηθῆναι ὑπ' αὐτῆς καὶ μὴ στέρησιν ὑπομεῖναι τῶν εἰς αὐτὴν γενομένων ἀγαθῶν, ὡς ἀθώου οὔσης τῆς ἐπιβουλῆς τῆς παρὰ τοῦ ἐνοικοῦντος ἐν αὐτῇ σκαιοῦ δαίμονος γενομένης. ἡ δὲ πιστὴ γυνὴ ἡ τῆς σωτηρίας τυχοῦσα ὑπὸ τῶν ἁγίων τῆς μὲν Χριστίνης

---

fehlt in C² | 82 εἰσάγειν C² | 83 κόρτην C² | 85 τ. θυσ. τ. ἐξ. C² | 86 αὐτὴ ἡ C² | 88 αὐτη γυνὴ C² | 89 ἐνδόξου fehlt in C² | 92 ἑαυτὴν] αὐτὴν C² | 93 κ. ἀγ. fehlt in C² | 94 ἐβούλετο C² | 95 κόρτην C² | 96 πνεῦμα fehlt in C² | 98 καὶ vor πληττόμενος zugefügt in C² | γινομένη V¹ | 101 ὑπ'] παρ' C² | κακία] μανία C² | 102 οὐ fehlt in C² | 107 ὑπὸ — ἡ (108)] αἰσχύνην ἰδιαν ὑπὸ τῶν ἁγίων μὴ φέρων· ἡ δε C² | 108 γεναμένη C² | 109 οἰκτηρηθῆναι V¹ | 110 γινομένων V¹ | 112 ἡ fehlt in

τοὺς λόγους παρεκρούσατο, εὐχαριστήσασα δὲ τοῖς ἁγίοις τὸν ἴδιον οἶκον ἐν εἰρήνῃ κατέλαβεν, προστεθεῖσα πλέον τῷ πόθῳ αὐτῶν, καὶ ἀδιαλείπτως ἐν ἑκάστῃ παρασκευῇ ἐξ ἐκείνου μέχρι τοῦ παρόντος περίεστιν ἐρχομένη ἐν τῷ θαυμαστῷ αὐτῶν τούτῳ οἴκῳ, καὶ εὐχαριστοῦσα τῷ θεῷ πᾶσιν διηγεῖται τὰς τῶν θεραπόντων τοῦ Χριστοῦ ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ εὐεργεσίας. καὶ μηδείς, φιλόχριστοι, ἀμφιβάλῃ ἢ ἀπιστήσῃ πρὸς οὐδὲν τῶν θαυμάτων ἢ σχημάτων τῶν ἁγίων, μηδὲ ὡς ἐν παραβύστῳ τὴν τῶν χαρισμάτων αὐτῶν ἤγουν ἰάσεων διήγησιν λάβοι· ὡς ἐπὶ μάρτυρι γὰρ τῷ | Χριστῷ οὐδὲν τῆς 510
ἀληθείας ἐν τούτοις νενόθευται, ἀλλ' ὅσα παρά τε αὐτῶν τῶν ἰαθέντων ἀκήκοα καὶ τῶν παρακολουθησάντων αὐτοψὶ τοῖς ἄλλοις θαύμασιν ἔμαθον, ταῦτα εἰ καὶ μὴ κατ' ἀξίαν ἐνέθηκα. τίς γὰρ δυνήσεται ἢ ποία γλῶσσα ἱκανήσει ἢ ποῖος χρόνος ἐπαρκέσει ἐπαξίως διηγήσασθαι τὰς τῶν ἁγίων τοῦ Χριστοῦ Κοσμᾶ καὶ Δαμιανοῦ ἐκ τῶν δοθέντων αὐτοῖς ὑπ' αὐτοῦ ἄνωθεν χαρισμάτων θαυματουργίας; τῇ γὰρ πίστει τῶν προστρεχόντων αὐτοῖς ἀκολουθοῦντες πολλὴν καὶ πανταχοῦ τὴν ἐνέργειαν τῆς θεραπείας παρέχουσιν. ἀκούσατε, παρακαλῶ, πῶς οὐκ εἰκῇ, ἀλλὰ μετὰ πράγματος τῷ προοιμίῳ τούτῳ ἐχρησάμην.

Wunder 13 (28)

περὶ τῆς γυναικὸς Κωνσταντίνου τοῦ ἐν Λαοδικείᾳ

συνέβη τινὰ ἄνδρα ἐν στρατείᾳ ἐξεταζόμενον ὀνόματι Κωνσταντῖνον, πιστότατον καὶ μὴ ἀπολιμπανόμενον τῆς τῶν ἁγίων προσεδρίας, ἐκδεδημηκέναι ταύτης τῆς φιλοχρίστου καὶ βασιλίδος πόλεως τῆς προσούσης αὐτῷ στρατείας χάριν· ὅστις ἐν ἑκάστῃ αὐτοῦ ξενιτείᾳ κατὰ πίστιν ἐπεφέ|ρετο τὸ ἐκτύπωμα τῶν ἁγίων ἐν εἰκόνι πρὸς ἀσφάλειαν 512
ἰδίαν. ἐπιστὰς δὲ τῇ Λαοδικέων πόλει, ἥτις ἐπωνόμασται ἡ τριμιταρία, καὶ ἐν αὐτῇ διατρίψας προφάσει τοῦ ἐγκεχειρισμένου αὐτῷ πράγματος φανερὸν χρόνον γάμῳ νομίμῳ προσωμίλησεν. ὀλίγων δὲ

C^2 | τυχούσα nach ἁγίων C^2 | τῆς μὲν — τοὺς (118)] τοὺς μὲν Χρ. C^2 | 114 πλέον] ἐπὶ πλεῖον C^2 | 116 τούτῳ fehlt in C^2 | 117 διηγείτω V^1 | 118 φιλόχριστοι nach ἀπιστήσῃ (119) C^2 | 119 ἀμφιβάλλει ἢ ἀπιστήσει C^2 | οὐδὲν] μήδε ἓν C^2 | 120 ὡς fehlt in C^2 | αὐτῶν fehlt in C^2 | 121 διήγησιν] δραματουργῖαν C^2 | Χριστῷ] χῶ C^2 | 122 ὅσα] ἅπερ C^2 | τε αὐτῶν fehlt in C^2 | 124 ἀνέθηκα C^2 | γὰρ fehlt in C^2 | 125 ἱκανήσει fehlt in C^2 | ἀξίως C^2 | 122 γὰρ nach ἀκούσατε zugefügt in C^2 || Wunder 13 Hss: $V^1 M^1 C^2$ die Konzilakten: (c) 1 τινὰ] οὖν C^2 | 2 ἐνδόξων vor ἁγίων, Κοσμᾶ καὶ Δαμιανοῦ nach ἁγίων zugefügt in C^2c | 3 καὶ fehlt in C^2 | πόλεως] τῶν πόλεων C^2 | 4 ἐν] ἐφ' C^2 | κατὰ πίστιν fehlt in M^1 | 5 ἐπέφερε c | τὸ ἐκτ.] τὰ ἐκτυπώματα αὐτῶν C^2 | εἰκονιδίῳ c 6 λαοδικίων πόλει M^1 λαοδικία C^2 | ἐπωνομάσθη c | ἡ fehlt in C^2 | τριμηταρία M^1 C^2 | 7 καὶ] δὲ nach αὐτῇ C^2 τε ebd. c | αὐτῷ] αὐτοῦ $M^1 C^2$ | 8 προστάγματος c

ἡμερῶν διαγενομένων ἡ συναφθεῖσα τούτῳ πρὸς γάμον γυνὴ ἠσθένησεν, ἐν τῇ σιαγόνι αὐτῆς τῇ ἐξ εὐωνύμων ἀπόστημα ἐκβαλοῦσα, καὶ ὑπὸ τῶν ἀλγηδόνων δεινῶς φερομένη τῷ ἀνδρὶ οὐ μετρίους κόπους ἐνεποίει. ὅστις παραμυθούμενος τὴν ἰδίαν γυναῖκα καὶ πολλὴν πεῖραν τῶν ἁγίων ἔχων, ἐπιλαθόμενος δέ, ὅτι κατὰ τὸ εἰωθὸς αὐτῷ τούτους ἐν γραφῇ ἐπεφέρετο, ἔλεγεν αὐτῇ· ‘τί σοι ποιήσω; ἐπὶ ξένης εἰμί· εἰ γὰρ ἤμην ἐν τῇ πόλει μου, ἐλάμβανον τῆς κηρωτῆς τῶν δεσποτῶν μου, τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ, καὶ εὐθέως καὶ τοὺς πόνους ἔπαυεν καὶ τὸ νόσημα ἐθεράπευεν.’ ἡ δὲ πιστὴ ὑπάρχουσα καὶ θαυμάσασα πρὸς τὸ σύντομον τῆς τῶν ἁγίων ἰάσεως καὶ εὐξαμένη ἀξιωθῆναι μετὰ τὴν ἐπάνοδον αὐτῶν τῆς ἐν τῷ ἐνδόξῳ καὶ περιβοήτῳ αὐτῶν οἴκῳ προσκυνήσεως καὶ τρωθεῖσα ἐκ μόνης τῆς ἀκοῆς
514 *τοῦ πρὸς τοὺς ἁγίους | πόθου ἡσύχασεν καὶ ὕπνῳ κατενεχθεῖσα τῇ ἐπιούσῃ νυκτὶ ὁρᾷ τοὺς μεγάλους τούτους καὶ φοβεροὺς ἰατροὺς καὶ θεράποντας τοῦ Χριστοῦ Κοσμᾶν καὶ Δαμιανὸν ἐν ᾧ ἐκτυποῦνται σχήματι ἑστῶτας πρὸς τῇ κλίνῃ αὐτῆς καὶ λέγοντας αὐτῇ· ‘τί ἔχεις, τί ἀγωνιᾷς, τί θλίψεις προσάγεις τῷ ἀνδρί σου; ὧδέ ἐσμεν μεθ’ ὑμῶν, μηδὲν φροντίσῃς.’ ταῦτα εἰπόντες αὐτῇ ἀπέστησαν. ἡ δὲ διυπνισθεῖσα ἠρώτα τὸν ἴδιον ὁμόζυγον, πυθέσθαι παρ’ αὐτοῦ βουλομένη τὰ σχήματα τῶν ἁγίων ἐνδόξων Κοσμᾶ καὶ Δαμιανοῦ, πῶς ἱστοροῦνται ἢ ἐν ποίᾳ τάξει ἡ αὐτῶν πρὸς τοὺς ἀσθενοῦντας γίνεται παράστασις. τοῦ δὲ ἀνδρὸς ἀπαγγείλαντος μὲν τὸ σχῆμα, διηγησαμένου δὲ καὶ τὰ αὐτῶν χαρίσματα, συνετίθετο μὲν τῷ συμβίῳ πρὸς τὰ σχήματα, ἔλεγεν δὲ αὐτῷ καὶ τὰ λοιπὰ τὰ ῥηθέντα αὐτῇ ἐν τῇ ὀπτασίᾳ ὑπὸ τῶν ἁγίων. λοιπὸν καὶ ὁ ἀνὴρ εἰς ἀνάμνησιν ἐλθὼν ἐκ τοῦ διηγήματος, ὅτι εἶχεν ἐν τῷ ὑπομασχάλῳ αὐτοῦ τὰ τῶν ἁγίων ἐν εἰκόνι ἐκτυπώματα, ἐκβαλὼν τοῦτο παρευθὺς ἔδειξεν τῇ γυναικί. ἡ δὲ θεασαμένη προσεκύ-*
516 *νησεν καὶ ἔγνω, ὅτι ὄντως σὺν αὐτοῖς ἐκεῖσε διῆγον οἱ ἅγιοι κατὰ | τὴν*

---

9 *διαγέναμένων* M^1 | 10 *ἐξευωνύμω* C^2 *εὐωνύμω* M^1 | 11 *φερομένη*] *ἀνιωμένη* c | 13 *τούτων* nach *ἁγίων* zugefügt in C^2 | *αὐτοῦ* c | 14 *ἐν γραφῇ* fehlt in c | *ἐπιφέρεται* C^2 | 15 *ἐκ* vor *τῆς* zugefügt in M^1 | 16 *εὐθὺς* C^2 c | *καὶ* vor *τοὺς* fehlt in c | 17 *σου* nach *πόνους* zugefügt in C^2 c | *ἔπαυον* c *ἔπαιον* C^2 | *ἐθεράπευον* C^2 c | 18 *καὶ* vor *θαυμ.* fehlt in M^1 | *πρὸς* fehlt in M^1 | 20 *αὐτῶν* vor *καὶ* (19) c | *οἴκῳ*] *ναῷ τούτων* c | 21 *τῷ . . . πόθῳ* c | 23 *καὶ θερ.* — *Χριστοῦ* fehlt in M^1 | 24 *τὴν κλίνην* V^1 M^1 | 25 *σου*] *σῷ* vor *ἀνδρί* C^2 | 26 *μηδενὸς* c | 28 *πάντα* vor *τὰ* zugefügt in C^2 | *ἐνδ. ἀγ.* C^2 c | *ἐνδ.* — *Δαμ.* fehlt in M^1 | *καὶ* vor *πῶς* zugefügt in C^2 | *ὅπως* c | 29 *ἢ*] *καὶ* M^1 c | *ἡ*] fehlt in V^1 nach *αὐτῶν* M^1 | *ἀσθενεῖς* C^2 c | 30 *παράταξης* C^2 | *ἀναγγείλαντος* C^2 | *αὐτῇ* nach *μὲν* zugefügt in C^2 c | 32 *αὐτῷ* fehlt in M^1 | *καὶ* fehlt in c | *αὐτῇ* fehlt in C^2 | *τῇ* fehlt in C^2 c | 33 *δὲ* nach *λοιπὸν* zugefügt in M^1 | *αὐτῆς* nach *ἀνὴρ* zugefügt in C^2 | *ὑπόμνησιν* C^2 | 34 *τὸ . . . ἐκτύπωμα* C^2 c | *ἐν εἰκ.* fehlt in C^2 | *εἰκονιδίῳ* c | 35 *παρευθὺ* V^1 M^1 | 36 *σὺν αὐ.*

αὐτῶν φωνήν. εἶτα ἐπιλαβομένης ἑτέρας νυκτὸς οἱ αὐτοὶ θεράποντες τοῦ Χριστοῦ φανέντες αὐτῇ ἐν τῇ ὁμοίᾳ θέᾳ λέγουσιν αὐτῇ· ʽοὐκ εἰρήκαμέν σοι, ὅτι ἐνταῦθα μεθʼ ὑμῶν ἐσμεν; τί πονεῖς;ʼ ἡ δὲ τὰ τῆς ὀδύνης τῆς σιαγόνος ὡς δῆθεν ἀγνοοῦσιν ἀπαγγείλασα ἤκουσεν παρʼ αὐτῶν· ʽοὐδὲν κακὸν ἔχεις, μόνον χάνονʼ. καὶ τοῦ ἑνὸς ἐξ αὐτῶν βαλόντος τὸν δάκτυλον εἰς τὸ στόμα αὐτῆς ἄπειρον αἷμα σεσηπὸς ἐκ τῆς γνάθου αὐτῆς ἐξῆλθεν διὰ τῆς τοῦ θεοῦ βοηθείας καὶ τῆς τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ χάριτος. καὶ ἁπλῶς πᾶσαν τὴν ὑγρότητα καὶ δυσωδίαν διὰ τοῦ στόματος ἐκκρίνασα ὑγιὴς ἀπεκατέστη, ὥστε τὸν αὐτῆς ἄνδρα πρωίας γενομένης ἀναστάντα εὑρεῖν αὐτὴν χαίρουσαν καὶ τοῦ παντὸς πάθους ἀπαλλαγεῖσαν. ἵνα δὲ μετὰ τὴν ἴασιν τῆς γυναικὸς καὶ τὴν πίστιν τοῦ ἀνδρὸς μὴ μόνον παραστήσωσιν οἱ ἅγιοι, ἀλλὰ καὶ βεβαιώσωσιν, ἐν ἑτέρᾳ νυκτὶ λέγουσιν τῇ γυναικί· ʽἔχεις κατὰ τὸ προσκεφάλαιόν σου μέρος τῆς κηρωτῆς, καὶ ἐκ ταύτης ἐν ἑκάστῃ ἑσπέρᾳ καθεύδουσα ἀλείφου, καὶ οὐδέν σοι τῶν κακῶν τοῦ λοιποῦ ἐνοχλήσειʼ. ἔγνωτε, φιλόχριστοι, πῶς τῇ πίστει τῶν ἐπικαλουμένων αὐ|τοὺς οἱ πάνσοφοι οὗτοι ἅγιοι 518
ἀκολουθοῦντες πανταχοῦ οὐ μόνον τῇ ἐνεργείᾳ, ἀλλὰ καὶ αὐτῇ τῇ παρουσίᾳ εὑρίσκονται. ὅθεν καταλαβοῦσα ἡ γυνὴ μετὰ τοῦ ἰδίου ἀνδρὸς τὴν φιλόχριστον καὶ πανευδαίμονα ταύτην πόλιν σὺν πολλῇ εὐχαριστίᾳ ἔφθασεν τὴν ἰατρικὴν ταύτην σκηνὴν τῶν ἐνδόξων ἁγίων, δοξάζουσα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν πλούσια τὰ ἐλέη αὐτοῦ παρεσχηκότα τῷ γένει τῶν ἀνθρώπων διὰ τούτων τῶν θαυμαστῶν ἁγίων καὶ θεραπόντων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ.

Wunder 14 (12) *περὶ τοῦ πρεσβυτέρου τοῦ παρέτου* 386

νικᾷ μου τὸν νοῦν ἡ ὑπερβάλλουσα τῶν ἁγίων χάρις τε καὶ δύναμις· ὅσῳ γὰρ πλεονάζει τῶν ἀσθενούντων ἀνθρώπων ὁ ἀριθμὸς

---

nach *διῆγον* in C^2 | 37 nach *φωνήν* schließt c mit den Worten *καὶ εὐθέως ἀπηλλάγη ἡ γυνὴ τοῦ νοσήματος* | *ἐπικαταλαβούσις* C^2 | 38 *κοσμὰς καὶ δαμιανὸς* nach *Χριστοῦ* zugefügt in C^2 | 42 *βάλλοντος* C^2 | 44 *χάριτος* vor *Κοσμᾶ* M^1 | 45 *τὴν* vor *δυσωδίαν* zugefügt in C^2 | *διὰ* fehlt in C^2 | *ἐκκενώσασα* C^2 | *κατέστη* C^2 | 46 *αὐτῆς*] *ταύτης* C^2 | *γεναμένης* M^1 | 47 *χαίρουσαν*] *κεχηνούσαν* C^2 | 49 *ἔνδοξοι* nach *ἅγιοι* zugefügt in V^1 | *βεβαιώσουσιν* C^2 | *τῇ* nach *ἐν* zugefügt in M^1 | 50 *κατὰ τὸ* fehlt in C^2 | 51 *καὶ* vor *ἐκ* fehlt in M^1 | 52 *σοι*] *σε* C^2 | 53 *αὐτοῖς* M^1 | *πανεύφημοι καὶ* vor *πάνσοφοι* zugefügt in C^2 | *ἅγιοι* fehlt in C^2 | 57 *ἁγίαν καὶ* nach *τὴν* zugefügt in M^1 | *τ. ἐνδ. ἁγ.* fehlt in M^1 | 58 *τὸν πλούσια — Δαμιανοῦ* 60)] *ὅτι αὐτῷ πρέπει τιμὴ κράτος μεγαλοσύνη καὶ μεγαλοπρέπεια· σὺν τῷ πρι καὶ τῷ ἁγίῳ πνι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων ἀμήν* M^1 | *ἐλέει* V^1 *δωρήματα* C^2 | 59 *τούτων* fehlt in C^2 | *θαυμ. ἁγ. κ.* fehlt in C^2 || Wunder 14 Hss: V^{1278} C^2 Titel *π. τ. παρέτου πρεσβυτέρου* V^{28} | *γεναμένου* vor *παρέτου* zugefügt in V^7 | 2 *ὅσον* C^2 | *ἀνθρ. ὁ*] *ἀνθρωπίνω* V^7 |

ἐν τούτῳ τῷ ἁγίῳ οἴκῳ, τοσούτῳ πλέον ὑπερπερισσεύει ἐν αὐτοῖς ἡ τῶν ἀναργύρων τούτων ἰατρῶν Κοσμᾶ καὶ Δαμιανοῦ σωτηρία. ἐπιφοιτῶσα γὰρ ἡ τοῦ θεοῦ δι' αὐτῶν χάρις φυγαδεύει τὰς ἀσθενείας, κουφίζει τὰς ἀλγηδόνας, ἰατρεύει τὰ νοσήματα, θεραπεύει τὰ παθήματα καὶ ἁπλῶς ὑγιεῖς πάντας ἐν εἰρήνῃ ἀπολύει. ὅθεν πρεσβύτερός τις τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἐν γήρει πίονι ὑπάρχων, ἀθρόον πάρετος γενόμενος εὐθὺς τὸν σεπτὸν τοῦτον τῶν ἁγίων κατέλαβεν οἶκον καὶ τοὺς θεράποντας τοῦ Χριστοῦ Κοσμᾶν καὶ Δαμιανὸν μετὰ πίστεως ἐδυσώπει ἐπιδεῖν εἰς τὸ γῆρας αὐτοῦ καὶ ἰατρεῦσαι τὴν ἀπροσδοκήτως φθάσασαν αὐτὸν τῆς τοιαύτης νόσου συμφοράν. εἶτα φανερῶν διαγενομένων ἡμερῶν ἠβουλήθη ἐπὶ λουτρὸν ἐλθεῖν τὸ
388 *λεγόμενον ἰα|ματικόν, τὸ ὂν ἐν Συκαῖς. καὶ ἐξελθὼν ἐκ τοῦ οἴκου τῶν ἁγίων τούτων ὑπὸ τὸν ὄρθρον φθάνει τὸ ἰαματικὸν τῶν ἐνταῦθα πριβάτον. συννεφείας δέ τινος γενομένης καὶ βροχῆς ἤδη κατιούσης οἱ βαστάζοντες λέγουσιν αὐτῷ· 'τί καταγνούς, κύρι ὁ πρεσβύτερος, τοῦ παρόντος λουτροῦ εἰς ἕτερον ἰαματικὸν σπουδάζεις ἀπελθεῖν, μάλιστα βροχῆς τοιαύτης οὔσης; ἰδοὺ καὶ τοῦτο ἰαματικὸν λέγεται εἶναι τὸ πριβάτον.' καὶ ἁπλῶς οὕτως τῶν ἁγίων οἰκονομησάντων τῇ αἰτίᾳ τῆς βροχῆς πείθουσιν αὐτὸν εἰσελθεῖν ἐν τῷ ἐνταῦθα ἰαματικῷ λουτρῷ. βασταχθεὶς οὖν εἰσῆλθεν εἰς τοὺς καλουμένους θόλους καὶ ἐκάθητο μόνος, τῆς χάριτος τῶν ἁγίων τοὺς εἰσαγαγόντας αὐτὸν ἔξω μετεωρισάσης. εἷς τοίνυν τῶν δύο θεραπόντων τοῦ Χριστοῦ ἐν σχήματι περιχύτου φανεὶς προετρέπετο τὸν ἀσθενοῦντα ἀναστῆναι καὶ εἰσελθεῖν εἰς τὸν ἐσώτερον οἶκον. τοῦ δὲ τὸ ἀδύνατον τοῦ βαδίζειν προϊσχομένου καὶ τοῦτο τῇ αἰτίᾳ τῆς ἀσθενείας ἐπιγράφοντος,*
390 *πάλιν προεθυμεῖτο αὐτὸν ὁ ἅγιος, τὰς ἰδίας χεῖ|ρας προβαλλόμενος καὶ ταύτας ἐπιδιδοὺς εἰς βακτηρίαν, καὶ τῶν ἄκρων δακτύλων τοῦ ἀσθενοῦντος ἐπιλαβόμενος βαδίσαι τὸν ἀκίνητον τοῖς ἰδίοις ποσὶν ἕως τῆς ἐμβάσεως πεποίηκεν, καὶ καταγαγὼν ἔλουσεν καὶ βαστάσας*

---

3 *τοσοῦτο* V^{12} *τοσοῦτον* V^{7} | *πλέον* fehlt in V^{7} | *αὐτοῖς*] *αυτῷ* V^{8} | 4 *ἐπιφυτοῦσα* V^{7} | 7 *πάντ. ὑγ.* V^{28} | *ἅπαντας* V^{7} | 8 *γεἰρα* C^{2} | *πίονι*] *πλείω* V^{7} *πλέον* C^{2} | 9 *γενάμενος* V^{7} | *τῶν σεπτῶν τούτων* V^{7} | 11 *ἀφίδεῖν* C^{2} | *εἰς* fehlt in V^{7} | 12 *ἀπροσδοκήτως* fehlt in V^{7} | *αὐτὸν*] fehlt in V^{28} C^{2} *αὐτῷ* V^{7} | 13 *φανερῶν*] *ὀλίγων* C^{2} *φανερῶς* W | *καὶ* vor *ἐπὶ* zugefügt in V^{7} | *λοετρὸν* V^{28} | *ἀπελθεῖν* V^{1} | 15 *φθάνει*] *ἐφάνη κατὰ ταύτα* C^{2} | *κατὰ* nach *φθάνει* zugefügt in V^{28} *εἰς* in V^{7} | 16 *πριβάτων* V^{1} | *δέ*] *τε* V^{17} | 18 *λοετροῦ* V^{8} *λουετροῦ* V^{2} | 19 *τοιαύτης*] vor *βροχῆς* V^{1} *τοσαύτης* V^{28} | *οὔσης* fehlt in V^{7} | 21 *τῇ — βροχῆς* fehlt in V^{28} | *τὴν αἰτίαν* V^{1} | *πείθουσιν*] *ποιοῦσιν* V^{7} | 22 *λοετρῷ* V^{28} | *βασταγεὶς* V^{7} | 23 *ἀγαγόντας* C^{2} | 24 *ἔξω* vor *τοὺς* (23) C^{2} | 26 *τοῦ* vor *βαδ.* fehlt in C^{2} | 27 *τὴν αἰτίαν* V^{1} | *αἰτίᾳ τ. ἀσθ.*] *ἀσθενείᾳ* V^{28} C^{2} | 28 *προεθυμεῖτο*] *προέτρέπετο* C^{2} | *τὰς* fehlt in V^{28} | 29 *ταύτας*] *αὐτὰς* V^{28} C^{2} | *ἐπιδοῦς* V^{7} | *τῶν* vor *δακτύλων* zugefügt in V^{1} |

ἀπέθετο ἐν τῷ στομίῳ τῆς ἐμβάσεως, καὶ ἀνελθὼν τῷ ἴσῳ τρόπῳ προτρεπόμενος τὸν πάρετον καὶ τὰς θεραπευτικὰς ἐπιδιδοὺς αὐτῷ χεῖρας ἕως τῆς νεροφόρου βαδίζοντα ἐξήγαγεν κατελθεῖν τε ἐν τῷ ὕδατι ἐπέτρεπεν. τοῦ δὲ μηδὲ προσψαῦσαι ὕδατι διὰ τὴν νόσον λέγοντος, ἁρπάσας αὐτὸν ὁ θεράπων τοῦ Χριστοῦ ὁ ἐν τάξει περιχύτου τῷ νοσοῦντι φαινόμενος ἐνέβαλεν εἰς τὴν νεροφόρον. εἶτα κατελθὼν ἀνήγαγεν αὐτὸν καὶ βαστάσας ἕως τῶν ἱματίων αὐτοῦ ἀπέθετο, εἰπὼν αὐτῷ πρὸς τὸ οὖς· 'οὐδὲν κακὸν λοιπὸν ἔχεις', καὶ ἀφανὴς γέγονεν. ταῦτα δὲ ὁ τοῦ θεοῦ εὐάρεστος ἔπραττεν, μιμούμενος καὶ ἐν τούτῳ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μὴ ἐπαισχυνθέντα οἴνῳ καὶ ἐλαίῳ καταδῆσαι τὰ τραύματα τοῦ εἰς τοὺς λῃστὰς περιπεπτωκότος ἀνθρώπου. ἀναρρωσθεὶς οὖν ὁ γέρων λέγει τοῖς ἀκολουθοῦσιν αὐτῷ· 'ἡδέως πάνυ | ἐλουσάμην· μνησθείη ὁ περιχύτης· 392 *πολλὰ αὐτῷ εὐχαριστῶ. πιστεύσατε γάρ μοι λέγοντι, ὅτι ἡ ὑπερβάλλουσα αὐτοῦ εἰς ἐμὲ θεραπεία καὶ ἐπὶ τὰ ἔσω καὶ πάλιν ἕως τῆς νεροφόρου περιπατῆσαί με παρεσκεύασεν. ἀλλὰ χαρίσασθέ μοι, πλέον κέρμα αὐτῷ δότε, μόνον ἐπ' ὄψεσίν μου.' κληθέντος οὖν ἑνὸς τῶν περιχυτῶν, λέγει αὐτῷ ὁ γέρων· 'οὐκ εἶ σὺ ὁ λούσας με, ἄλλος ἐστίν.' ἐκεῖνος ἄγει ἄλλους δύο περιχύτας ἐπ' ὄψεσιν τοῦ λουσαμένου καὶ λέγει· 'ἰδοὺ ἡμεῖς μόνοι ἐσμὲν περιχύται.' τοῦ δὲ μηδέτερον αὐτῶν ἐπεγνωκότος, λέγουσιν αὐτῷ· 'ἄπελθε κύρι παπία καὶ τοῖς ἁγίοις, εἴ τι θέλεις, προσάγαγε εὐχαριστῶν· αὐτοὶ γάρ σε καὶ ἔλουσαν καὶ ἰάσαντο. ζῇ γὰρ κύριος· εἷς ἐξ ἡμῶν οὐκ εἰσῆλθεν, οὐχ ὑπηρέτησέν σοι.' ταῦτα ἀκούσας ὁ πρεσβύτερος καὶ ἐπιγνοὺς τὸ παραδόξως ἐπ' αὐτῷ γενόμενον θαῦμα μᾶλλον δὲ μυστήριον δρομαίως τοῖς ποσὶν φθάσας τὸν πολυθρύλητον τῶν ἁγίων τοῦτον οἶκον εἰσῆλθεν ἐν τῷ*

14, 42 Luc. 10,34

32 *ἔθετω* V^{7} | 33 *προτρεψάμενος* V^{7} | *ἐπιδοῦς* V^{7} | 34 *χεῖρας* vor *ἐπιδιδοὺς* (33) V^{1} | *βαδίζοντα* fehlt in V^{28} C^{2} | *ἐξήγαγεν*] *ἐξέβαλεν* V^{7} | *εἰσελθεῖν* V^{7} | 35 *προέτρεπεν* V^{1} | *μηδὲ*] *μὴ* V^{12} C^{2} | 36 *ἁρπάξας* (über dem ξ ein σ) V^{7} | *θερ. τ. Χρ.*] *Χρ. θερ.* C^{2} | 37 *τὴν*] *τὸν* C^{2} | 38 *βαστάξας* V^{7} | *αὐτὸν* nach *βαστ.* zugefügt in C^{2} | 39 *λοιπὸν*] *τοῦ λοιποῦ* V^{1} | *παραχρῆμα* nach *καὶ* zugefügt in V^{7} | 40 *θεοῦ εὐάρ.*] *Χριστοῦ θεράπων* V^{7} C^{2} | *ἔπραξεν* V^{7} | 44 *μνησθεῖ* C^{2} | 45 *ἡ*] fehlt in V^{7} nach *αὐτοῦ* (46) C^{2} | 46 *πάλιν* vor *ἐπὶ* V^{1} | *ἕως*] *ἔσω* V^{2} | 47 *καὶ* nach *μοι* zugefügt in V^{28} C^{2} | *πλεῖον* C^{2} | 48 *κληθέντος*] *εἰσελθόντος* V^{7} | 49 *λουσάμενός* V^{7} | *ἢ* nach *με* zugefügt in V^{28} *οὐκὴ* in C^{2} | 50 *ἐκεῖνος* fehlt in C^{2} | *οὖν* nach *ἄγει* zugefügt in V^{1} | *λελουσμένου* V^{7} | 52 *κύριε παπεία* V^{8} *κυριπάπα* V^{1} | 53 *καὶ* vor *ἔλουσαν* fehlt in C^{2} | 54 *κύριος*] *ῑῡς* V^{7} | *ἦλθεν* C^{2} | *οὐχ*] *οὔτε* V^{7} | 55 *δὲ* nach *ταῦτα* am Rande zugefügt in V^{1} | *ἐπ'* fehlt in C^{2} | 56 *αὐτὸν* V^{28} | *γεγενημένον* V^{1} | *δρομαῖος* V^{1} C^{2} | 57 *πολυθρύλλητον* V^{1} | *τούτων* V^{17} | *εἰσελθὼν* V^{28} |

ἁγίῳ θυσιαστηρίῳ αἰνῶν καὶ δοξάζων τὸν θεόν, τὸν τοσοῦτον μέτρον
394 *δυναστείας δω|ρησάμενον τοῖς θεράπουσιν αὐτοῦ Κοσμᾷ καὶ Δαμιανῷ,*
καὶ εὐχαριστήσας αὐτοῖς ἀπῆλθεν ὑγιὴς ἐν τῷ οἴκῳ αὐτοῦ.

Wunder 15 (13)

περὶ τῆς γυναικὸς τῆς ἐχούσης τοὺς στρόφους

καλῶς ὁ σοφώτατος Παῦλος, ὁ στύλος καὶ διδάσκαλος τῆς ἐκκλησίας, βοᾷ ὅτι· 'ἡ ἐλπὶς οὐ καταισχύνει τῆς ἀγάπης τοῦ θεοῦ ἐκκεχυμένης ἐν ταῖς καρδίαις ἡμῶν'. ταύτην τὴν ἐλπίδα κεκτημένη μία πιστὴ γυνὴ καὶ ἐκ χαλεπῶν ἀσθενειῶν ῥυσθεῖσα διαφόρως διὰ τῶν ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ ἀνεπίληστον τὴν μνήμην τῆς πρὸς αὐτοὺς εὐχαριστίας ἐποιεῖτο, συχνότερον ἐν τῷ θαυμαστῷ αὐτῶν τούτῳ οἴκῳ παραγινομένη καὶ τὸ χρέως τῆς τιμῆς αὐτοῖς ἀποτιννύουσα. καὶ ἁπλῶς καθ' ἑκάστην τοὺς μεγάλους καὶ θαυμαστοὺς ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἔχουσα ἐν τῇ διανοίᾳ οὐκ ἐκορέννυτο. ἀλλὰ καὶ εἰς πάντα τὸν τοῖχον τοῦ οἴκου αὐτῆς τούτους ἀνέγραψεν, ἀκόρεστος ἐκ τῆς θέας αὐτῶν ὑπάρχουσα, ὅθεν ἐκ τοῦ ὑπερβάλλοντος αὐτῆς πόθου τοῦτο πέπραχεν. καὶ μηδεὶς ἐπιλάβοιτο τούτου, πιστοί, ἀκατηγόρητον
396 *γὰρ ἐπ' ὠφελείᾳ ψυχῆς | πανταχοῦ τὸ ἄπληστον κρίνεται. ταύτην συνέβη ὑπὸ τῶν ἔσωθεν ἀσθενήσασαν πόνοις ἀνενδότοις ἐν τῷ ἰδίῳ οἴκῳ συνέχεσθαι. κυλιομένη τε ἐν τῷ κραββάτῳ ἄπαυστον εἶχεν τὴν ὀδύνην, καὶ οὐδεμία ἀνοχὴ τῶν ἀλγηδόνων ἦν ἐν αὐτῇ. οὕτως δὲ συμβάντος μόνην ἔλαχεν ταύτην πρὸς ὀλίγον εὑρεθῆναι. ὡς δὲ εἶδεν ἑαυτὴν κινδυνεύουσαν, συρομένη κατῆλθεν ἐκ τῆς κλίνης, καὶ φθάσασα τὸν τόπον, ἐν ᾧ ἐν τῷ τοίχῳ ἦσαν γεγραμμένοι οἱ πάνσοφοι οὗτοι*

15, 1 Röm. 5,5

58 *καὶ* fehlt in C^2 | *τὸν τοσ. — αὐτοῦ* (59)] *καὶ τοῖς ἁγίοις* C^2 | *τοσοῦτο* V^7 | 59 *δωρούμενον* V^7 | *ἁγίοις* nach *αὐτοῦ* zugefügt in V^{28} | 60 *ὑγιὴς* fehlt in V^7 | *εἰς τὸν οἶκον* V^1 C^2 || Wunder 15 Hss: $V^{127(8)}$ C^2 die Konzilakten: (c) Titel fehlt in V^7 | 1 *σοφὸς* V^7 | *τ. ἐκκλ.* fehlt in C^2 | 2 *βοᾷ*] *εἶπεν* vor *ὁ στ.* (1) V^7 | *ἡ* fehlt in C^2 | *θεοῦ*] *Χριστοῦ* V^8 C^2 | *ἐκκεχυμένη* C^2 | 3 *τὴν*] *μὲν* c | *ἐλπίδα*] *ἀγάπην* V^7 | 4 *καὶ*] *ἡ* V^7 | *ἐκ* fehlt in c | *ῥωσθεῖσα* V^{28} | 5 *ἐνδόξων* fehlt in V^{28} | *ἁγίων* fehlt in C^2 | 6 *καὶ* vor *συχνότερον* zugefügt in V^{28} C^2 | *συνεχέστερον* V^7 | *ἐν* fehlt in C^2 | mit *αὐτῶν* bricht V^8 ab | *τούτῳ* fehlt in C^2 | 7 *παραγενομένη* V^{12} *το ἐρχομένη* C^2 | *χρέος* c | 8 *ἁγ. κ. θαυμ.* V^2 | 10 *τὸν* fehlt in V^2 | *τ. οἴκ. αὐ.*] *αὐτῆς τὸν ἐν τῶ ἰδίω οἴκω* C^2 | *ἀκορέστως* C^2 | *ἐκ* fehlt in c | 11 *ὑπάρχουσα*] *ἔχουσα* C^2 | *αὐτῇ* V^{27} | 12 *ἐπηλάβοι* V^2 *ὑπολάβοι* c | *τοῦτο πιστοὶ* V^7 *τοῦτο ἄπιστον* c *τούτω πιστοὶ* C^2 *τὸ τῶν πιστῶν* V^2 | *οὐδὲ γὰρ ἀκατηγ.* c | *ἀκατήγορον* V^7 | 13 *ἄπιστον* V^2 c | 14 *ὑπὸ*] *ἀπὸ* V^7 | 15 *κυλιομένην* c | *τε* fehlt in C^2 | *ἔχειν* c | 16 *οὐδεμίαν* V^{17} | *ἀνοχὴν* V^1 | *ἀλγινῶν* C^2 | *ἦν ἐν αὐ.*] *εἶχεν* V^1 | 17 *μόνη* V^7 | *ταύτην* fehlt in V^7 | 18 *αὐτὴν* C^2 | 19 *τ. τόπον*] *ἐν τῶ τόπω* C^2 | *ἐν* vor *τῷ*

ἅγιοι, τῇ πίστει αὐτῆς ἀντὶ βακτηρίας χρησαμένη καὶ ἀνορθώσασα ἑαυτήν, τοῖς ὄνυξίν τε αὐτῆς τῶν χειρῶν καταξέσασα τοῦ χρίσματος καὶ βαλοῦσα ἐν ὕδατι, ἔπιεν εὔκρατον καὶ παρευθὺ ὑγιὴς γέγονεν, τῶν ὄντων ἐν αὐτῇ ἀλγηδόνων παυσαμένων τῇ τῶν ἁγίων ἐπιφοιτήσει. ἥτις μετὰ τὸ ὑγιᾶναι ἦλθεν ἐν τῷ μεγάλῳ τούτῳ οἴκῳ, εὐχαριστοῦσα τῷ δεσπότῃ Χριστῷ τῷ δεδωκότι τοσαῦτα χαρίσματα τοῖς ἁγίοις αὐτοῦ, καὶ διηγήσατο πᾶσιν τὴν διὰ τῶν ἁγίων προσγενομένην αὐτῇ ἐν τῷ τοιούτῳ σχήματι θεραπείαν. ὁρᾷς πῶς ταχέως τοὺς καρποὺς τῆς ἐλπίδος αὐτῆς εὗρεν ἡ πιστὴ γυνή. ἔγνωτε, φιλόχριστοι, πῶς ἡ πίστις συνεργεῖ τοῖς ἔργοις καὶ ἐκ τῶν ἔργων ἡ πίστις τελειοῦται· καὶ μηδεὶς ὑπολάβοι καινὸν γεγενῆσθαι ὑπὸ τῶν ἁγίων τοῦτο τὸ θαῦμα, ἢ | ἁπλῶς τὴν ἀσθενοῦσαν τεύξασθαι τῆς ἐκ τοῦ ἐπι- 398
τελεσθέντος παρ᾽ αὐτῆς σχήματος ἰάσεως. φωνὴ γὰρ τοῦ κυρίου πρὸς πάντας τοὺς ἁγίους αὐτοῦ ἀποστόλους ἐστὶν ἡ λέγουσα· ‘τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, καὶ ὑμεῖς ποιήσετε, καὶ μείζονα τούτων ποιήσετε.’ ὅθεν τῆς αὐτοῦ τοῦ δεσπότου σκιᾶς μηδαμοῦ θαῦμα ἐργασαμένης ἡ τοῦ πρώτου τῶν ἀποστόλων Πέτρου σκιὰ καὶ θάνατον ἔλυσεν καὶ νόσους ἐξήλασεν. ἀλλὰ καὶ ταῦτα ὁ κύριος ἡμῶν διὰ τῶν ἁγίων αὐτοῦ ἐνεργεῖ τὰ θαύματα.

Wunder 16 (14—16)

περὶ τῶν τριῶν θαυμάτων

ὅθεν τὸ μοναδικὸν τῆς ἁγίας αὐτοῦ τριάδος ζηλοῦντες ἀεὶ οἱ ἔνδοξοι οὗτοι ἅγιοι ἰσάριθμα ταύτης κατ᾽ αὐτὸν τρία θαύματα ἐν τῷ παναγίῳ αὐτῶν τούτῳ οἴκῳ ἐπεδείξαντο διὰ τῆς τοῦ θεοῦ δυνάμεως. τινὸς γὰρ περιφανοῦς ἐν τῷ παλατίῳ καὶ πιστοῦ ἀνδρὸς ἔσω κατὰ

15, 29 Jac. 2,22 33 Joh. 14,12 36 Act. 5,15

fehlt in V^2 | γεγραμμένοι] ἱστορισμένοι V^2 | 20 τὴν πίστειν C^2 | βακτηρία V^2 | 21 ταῖς ὀνύξεσιν ἑαυτῆς V^7 | τε] δὲ C^2 | αὐτῆς fehlt in V^1 | τ. χρίσμ.] τῶν χρωμάτων V^2 | 22 τῷ vor ὕδατι zugefügt in V^7 | παρευθὺς C^2, vgl. 16,28 | 23 ὄντων] οὐσῶν c | ἐν fehlt in $V^7 C^2$ | 24 οἴκῳ] τέμενι V^7 | 25 δεσπότῃ fehlt in V^1 | Χριστῷ] θεῷ V^1 c | 26 διηγεῖτο V^7 | 27 mit θεραπείαν bricht c ab | τοῦ καρποῦ C^2 | 29 συνεργεῖ — πίστις fehlt in V^2 | 30 καὶ] δὲ nach μηδεὶς V^7 | κενὸν C^2 | 31 τεύξασθαι] ηυξαμένην V^7 | 32 τῆς vor ἰάσεως zugefügt in $V^1 C^2$ | τοῦ fehlt in $V^2 C^2$ | 33 ἀποστ. αὐ. V^7 | ἡ fehlt in C^2 | 34 zweimal ποιήσητε V^1, d. erste Mal auch C^2 | κ. μείζ. τ. π. fehlt in $V^2 C^2$ | 35 τοῦ πρ. τ. ἀποστ.] ποτὲ τοῦ ἀποστόλου V^7 | 36 καὶ vor θάν. fehlt in C^2 | θάν. ἔλ.] θανόντας ἤγειρεν V^7 | κ. νόσ. ἐξήλ. fehlt in C^2 | νοσοῦντας V^7 | 37 ἀπήλασεν V^2 ἐξέλασεν V^7 | διὰ — αὐτοῦ fehlt in C^2 | 38 τὰ θ.] καὶ τὰ θ. ἀπεργάζεται V^2 | ᾧ ἡ δόξα σὺν τῷ πρὶ· ἅμα τῷ ζωοποιῷ καὶ ἁγίῳ πνί· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν nach θαύματα zugefügt in C^2 || Wunder 16 Hss: $V^{(1)27}$ Titel fehlt in V^{17} | 1 αὐτοῦ vor τῆς V^1 | ζητοῦντες V^7 | 2 κατ᾽ αὐτὸν] καὶ τὰ αὐτῶν V^1 | 3 τούτῳ fehlt in V^2 | σικῷ V^7 | 4 ἔσω] ἐν τω

400 τὸν | δακτύλιον εἰς τὸ βάθος τραῦμα ἐσχηκότος, καὶ τῶν περιοδευόν-
των αὐτὸν ἰατρῶν ὑπὸ τοῦ πάθους ἡττηθέντων, ἀναγκαίως τε τὴν
σκηνὴν ταύτην τῶν ἁγίων καταλαβόντος, εἰκότως καὶ ἡ τούτου ὁμόζυγος
συναλγοῦσα τῷ ἰδίῳ ἀνδρὶ τούτῳ ἠκολούθησεν, λαβοῦσα μεθ' ἑαυτῆς
τὴν οἰκείαν ἀδελφήν, ὡς συμπάσχουσαν αὐτῇ ἐπὶ τῇ τοῦ γαμβροῦ
ἀσθενείᾳ. καὶ δὴ ἀμφοτέρων ἐπιστάντων καθὰ εἴρηται τῷ θαυμαστῷ
τῶν ἁγίων τούτῳ οἴκῳ τὸ ἀθεράπευτον παρὰ ἀνθρώποις τοῦ ἀνδρὸς
καὶ ἀθεώρητον ἐν ὀφθαλμοῖς ἕλκος ὁ θεὸς ὁ ἀναφὴς καὶ ἀθεώρητος
διὰ τῆς τῶν ἐνδόξων ἁγίων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ εὐχῆς τε καὶ
περιοδίας κατὰ μέρος ἤλαττον, μᾶλλον δὲ καὶ ἐφυγάδευεν. τῇ γὰρ
δεδομένῃ αὐτοῖς ἐξ αὐτοῦ σοφίᾳ οἱ ἅγιοι τοῦτο διὰ διαίτης μόνης
τοῦ ἀσθενοῦντος, φοβερᾶς μέντοι καὶ ξένης, καὶ τῆς ἁγίας αὐτῶν
κηρωτῆς περιώδευσαν καὶ ἀνώδυνον τὸν πάσχοντα διεφύλαξαν. εἶτα
τούτου ἐν εὐθυμίᾳ πολλῇ καὶ εὐχαριστίᾳ τῇ πρὸς τὸν θεὸν καὶ τοὺς
402 ἁγίους διατε|λοῦντος καὶ πᾶσιν διηγουμένου τὴν ἐκ θεοῦ διὰ τῶν
ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ δοθεῖσαν αὐτῷ ἀπροσδόκητον ζωήν, ἡ
τῆς συμβίου τούτου ἀδελφὴ ἐν μιᾷ ἡμέρᾳ ἐν τῷ ἐσθίειν αὐτοὺς λέγει
αὐτῷ, ὡς ὀδύνης αὐτῇ προσγενομένης κατὰ τοῦ λαιμοῦ καὶ τὰ παρ-
ίσθμια δῆθεν αἰτιωμένης. τοῦ δὲ ταῦτα ἀκηκοότος παρ' αὐτῆς καὶ
ἔτι ἀκμάζουσαν τὴν τοσαύτην πεῖραν τῆς εὐεργεσίας τῶν ἐνδόξων
ἁγίων ἔχοντος ἐκ τοῦ ἐπιδειχθέντος εἰς αὐτὸν ἐξαισίου θαύματος,
λέγει αὐτῇ· 'βάλε ἐν ὕδατι τῆς κηρωτῆς τῶν δεσποτῶν μου τῶν ἁγίων
καὶ πίε, καὶ πολλῆς ὠφελείας ἔχεις τυχεῖν.' ἥτις πρὸς οὐδὲν τούτων
ἀνανεύσασα, ἀλλὰ μετὰ πίστεως πράξασα ὅπερ ἀκήκοεν, παρευθὺ ηὕ-
ρετο τῆς πίστεως αὐτῆς ὑγιὴς τοὺς καρπούς, καὶ ἀναστᾶσα ἐξ ὕπνου
λέγει τῇ ἰδίᾳ ἀδελφῇ· 'θέλεις ἀκοῦσαι, ὅτι οἱ ἅγιοι Κοσμᾶς καὶ Δα-
μιανὸς κἀμὲ μετὰ τοῦ κυρίου σου ἐθεράπευσαν; οἶδας γὰρ ὅτι ἑσπέρας
οὐδὲ τὸν πτύελόν μου καταπιεῖν ἠδυνάμην, καὶ βαλοῦσα εἰς εὔκρατον
τῆς ἁγίας αὐτῶν κηρωτῆς ἔπιον, καὶ χάριτι αὐτῶν οὐδὲν κακὸν ἔχω.'
ἡ δὲ ταύτης ἀδελφὴ ἀκούσασα ἔφη ὡς· 'οὐκ ἂν ἔβαλον εἰς τὸ στόμα

V^{7} | 5 *περιοδευκότων* V^{7} | 6 *τε*] *δὲ* V^{7} | 7 *καὶ* fehlt in V^{7} | 9 *τῇ* fehlt in V^{7} | 11 *σικῶ* V^{7} | *τ. ἀνδρ.* vor *παρὰ* V^{1} | 12 *ὁ ἀναφὴς*] *ἐπιφανεὶς τῶ ἀνδρὶ* V^{2} | *ἀθεωρήτως* V^{12} | 13 *αὐτῶ ἐμφανισθεὶς* vor *διὰ* zugefügt in V^{2} | *ἐνδόξων* fehlt in V^{7} | *αὐτοῦ* fehlt in V^{2} | *τε* fehlt in V^{1} | 14 *τὸ πάθος* nach *μέρος* zugefügt in V^{2} | *ἠλαττοῦτο* V^{2} *ἠλλάτοι* V^{7} | *καὶ* fehlt in V^{7} | *ἐφυγάδευσεν* V^{7} *ἐφυγαδεύετο* V^{2} | 15 *διὰ* fehlt in V^{7} | *μόνης* fehlt in V^{1} | 16 *μέντοι*] *μὲν* V^{2} | 18 *ἐν* fehlt in V^{7} | 20 *Κ. κ. Δ.* fehlt in V^{1} | 21 *τούτου*] *αὐτοῦ* V^{1} | 22 *προσγεναμένης* V^{7} *προσγινομένης* V^{1} | *κατὰ*] *ἐκ* V^{7} | *πάρισθνα* V^{7} *πάρισχνα* V^{1} *πάρεσχνα* V^{2} | 23 *αἰτιουμένης* V^{7} | 25 *εἰς αὐ.* fehlt in V^{7} | 27 *ἐπιτυχεῖν* V^{1} | 28 *ηὕρατο* V^{1} *εὗρεν* V^{7} | 29 *τοὺς*] fehlt in V^{2} vor *τῆς* V^{7} | *ἐξ ὕπνου* fehlt in V^{7} | 30 *Κ. κ. Δ.* fehlt in V^{1} | 31 *κἀμὲ* nach *σου* V^{1} | *κυροῦ* V^{27} | 32 *ἠδυνόμην* V^{2} *ἠδυνήμην* V^{7} | 34 *ταῦτα* nach *ἀκούσασα*

μου τῆς κηρωτῆς πρὸς γεῦσιν | μόνον, οὐ λέγω ὅτι καὶ καταπιεῖν 404
τοῦτο ἠνειχόμην, οὐδὲ εἰ εἶχον δυσχεροῦς τινος πεῖραν λαβεῖν. τοῦτο
δὲ ἔλεγεν οὐχ ὡς εἰς ἀπιστίαν τινα δρῶσα, ἀλλὰ κατὰ τὸ σύνηθες
τῶν γυναικῶν ναυτιασμὸν λογιζομένη. τούτων παρ᾽ αὐτῆς λεχθέντων
ὑπὸ τὸν ὄρθρον, αὐτῇ τῇ ἡμέρᾳ περιπίπτει τῷ αὐτῷ πάθει, ὅπερ
ἔτυχεν καὶ ἡ ταύτης ἀδελφὴ αἰτιασαμένη, καὶ ἀγανακτοῦσα ἐκ τῆς
ὀδύνης κατεβόα τῶν θεραπόντων τοῦ Χριστοῦ Κοσμᾶ καὶ Δαμιανοῦ
λέγουσα· ‘οὐδεμίαν ἑβδομάδα ἔχει ὁ ἀνήρ μου ὑγιάνας, κἀγὼ μηδὲν
κακὸν ἔχουσα παρεγενόμην ἐν τῷ οἴκῳ ὑμῶν, ἅγιοι, καὶ ἀποθνήσκω
καὶ παρορᾶτέ με.’ τί οὖν ἔδει, φιλόχριστοι, τοὺς εὐαρέστους τοῦ
Χριστοῦ ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἐπ᾽ αὐτῇ πρᾶξαι; ἐπιλαβομένης
γὰρ νυκτὸς ἐπιστάντες τῇ κλίνῃ αὐτῆς λέγουσιν αὐτῇ· ‘διὰ | τί οὕτως 406
δυσφορεῖς καὶ διὰ τί ἐκ προπετείας ἡμῶν καταβοᾷς; εἰ θέλεις ὑγιᾶναι
καὶ ἄπονος μεῖναι, ποίησον ὅπερ ἡ ἀδελφή σου καὶ βαλοῦσα τῆς
κηρωτῆς εἰς εὔκρατον πίε, καὶ θεραπεύῃ.’ ἥτις γυνὴ μετὰ τὸν ὕπνον
ἀναστᾶσα καὶ τῆς τῶν ἁγίων προστάξεως ἀναμνησθεῖσα ἐπέμενεν τῇ
τοιαύτῃ πρὸς τὴν γεῦσιν τῆς κηρωτῆς ἀηδίᾳ. ἀκούσατε τοίνυν, φιλό-
χριστοι, ἀνεξικάκου ὁμοῦ καὶ χαριεστάτης καὶ δικαίας τῶν ἐνδόξων
ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ ἐπ᾽ αὐτῇ περιοδίας μᾶλλον δὲ κρίσεως.
τὴν γὰρ οὕτως ἀηδεστάτην πρὸς τὴν ἰδίαν γεῦσιν ἀποκαλοῦσαν τὴν
κηρωτὴν τοῦ λύχνου τοῦ κηριάπτου τοῦ ἀνδρὸς αὐτῆς τὴν στοῦππαν
εὐτρεπισθεῖσαν εἰς φωταγωγίαν ὁλόκληρον διὰ τῆς θαυμαστῆς αὐτῶν
κυβερνήσεως μασήσασθαι τῷ οἰκείῳ στόματι καὶ καταπιεῖν πεποιή-
κασιν. καὶ ὅρα· φθασάσης γὰρ ἑτέρας νυκτὸς ἐπιστάντες οἱ τοῦ
Χριστοῦ θεράποντες τῇ γαμετῇ τοῦ θεραπευθέντος τὸν δακτύλιον, ὁ
εἷς ἐξ αὐτῶν λαβὼν ἐν τῇ χειρὶ αὐτοῦ τὴν εἰρημένην ἀπὸ τοῦ λύχνου
στοῦππαν προσήγαγεν ταῖς ῥισὶν αὐτῆς, καὶ ἀμφότεροι λέγουσιν αὐτῇ·
‘εἰ οὐ θέλεις φαγεῖν ἀπὸ τῆς κηρωτῆς, ὀσφράν|θητι τούτου· βλέπε, 408
μή τι ἀηδές ἐστιν, μὴ πνέει τι σαπρόν.’ τῆς δὲ ἐν τῇ ὀπτασίᾳ
ὀσφρανθείσης δῆθεν καὶ τῇ ἐνεργείᾳ τῶν ἁγίων μηδὲν εὐρούσης
ὧν ὑπελάμβανεν, λέγουσιν αὐτῇ· ‘ἰδοὺ οὐδὲν κακὸν πνέει οὐδὲ

zugefügt in V² | ἔβαλλον V¹ | 35 τῆς fehlt in V¹ | κηρώτιτος V⁷ | τῶν ἁγίων vor πρὸς zugefügt in V² | μόνον vor τῆς V⁷ | ὅτι fehlt in V² | 36 τινος δυσχ. V² | 37 τινα fehlt in V¹ | 38 ναυσιασμὸν V⁷ | 39 ὑπὸ] προς V⁷ | τὴ αὐτὴ V⁷ | ὥσπερ V² | 40 ἡ vor αἰτιασαμένη zugefügt in V¹ | 43 παρεγενάμην V⁷ | 44 ἔδει fehlt in V² | 45 K. κ. Δ. fehlt in V¹ | ἐπιλαβούσης V⁷ | 47 εἰ fehlt in V² | 49 θεραπεύει V⁷ θεραπευθήσῃ V² | 50 ἐπέμεινεν V⁷ | ἐν vor τῇ zugefügt in V¹² | 53 K. κ. Δ. fehlt in V¹ | ἐπ᾽] ἐν V² | κρίσεως] ἀκρίβειαν V⁷ | 54 ἰδίαν fehlt in V⁷ | 55 στοῦπαν V¹ | 58 κ. ὅρα fehlt in V⁷ | 59 τὸν] τὸ V² | 60 λαβὼν nach αὐτοῦ V² | 61 στοῦπαν V¹ | ἐν vor ταῖς zugefügt in V¹⁷ | 63 τῇ fehlt in V² | 64 δῆθεν] ἴδεν

ἔχει τινὰ ἀποφοράν· μάσησαι αὐτό.' πάλιν, ταύτης προθύμως δεξα-
μένης ἐν τῷ στόματι τὴν στοῦππαν, οἱ ἅγιοι κατὰ μέρος ἐπὶ τὸν λά-
ρυγγα αὐτῆς ὤθουν ταύτην, παραινοῦντες μασήσασθαι, καὶ ἁπλῶς τε-
λευταῖον λέγουσιν αὐτῇ· 'εἶδες πῶς εὔοσμόν ἐστιν; εἰ θέλεις ὡς ἡ ἀδελφή
σου ὑγιᾶναι, ἄκουσον ἡμῶν καὶ κατάπιε τοῦτο, καὶ οὐδὲν κακὸν ἔχεις.'
ὅπερ ποιήσασα ἡ περιπεσοῦσα τῇ ἀηδίᾳ καὶ καταπιοῦσα τὴν τοιαύτην
στοῦππαν ὑγιὴς γέγονεν. ὀπτασίαν μέντοι μόνην ἤγουν φαντασίαν
ἕνεκεν τῆς στούππας νομίσασα τὴν τοιαύτην τῶν ἐνδόξων ἁγίων
Κοσμᾶ καὶ Δαμιανοῦ περιοδίαν, ἀναστᾶσα λέγει τῷ ἀνδρὶ αὐτῆς τῷ
ἰδίῳ· 'θέλεις μαθεῖν, κύρι, ὅτι οἱ ἅγιοι διὰ τῆς νυκτὸς ἐλθόντες πρός
με, μᾶλλον ἀγανακτοῦντες ἐφ' οἷς οὐκ ἠβουλάμην ὡς μὴ δυναμένη
τῆς κηρωτῆς αὐτῶν γεύσασθαι, ὥσπερ στοῦππαν ἀπὸ λύχνου ἐν ὁρά-
410 ματι παρεῖχόν μοι εἰς τὸ ὀσφρανθῆναι καὶ | γεύσασθαι ταύτης. οὕτως
δὲ ἡγούμην, ὅτι καὶ κατέπιον αὐτήν, ὡς οὐδεμίαν ἔχουσαν ἀπὸ λύχνου
ἀποφοράν. καὶ ἰδοὺ καλῶς ἔχω, ἐπαύσατο γὰρ ἡ ὀδύνη τοῦ λαιμοῦ
μου.' ὁ δὲ ταύτης ἀνὴρ ἀκούσας ἐθαύμασεν τὴν τῶν ἁγίων Κοσμᾶ
καὶ Δαμιανοῦ ἀνεξικακίαν καὶ φοβερὰν διοίκησιν καὶ λέγει αὐτῇ· 'τὸν
θεόν σοι· ὡς ἀπὸ ποίου λύχνου ἐλογίζου δεδόσθαι σοι ἣν ἔφης ὑπὸ
τῶν ἁγίων στοῦππαν;' ἡ δὲ λέγει αὐτῷ· 'οὕτως ἐνόμιζον, ὡς ἀπὸ τοῦ
κηριάπτου ταύτην δῆθεν εἶναι.' ζητήσαντες τοίνυν τὸν λύχνον τοῦ
αὐτοῦ κηριάπτου εὗρον αὐτὸν μὴ ἔχοντα τὴν ἰδίαν στοῦππαν. τότε
γνόντες ἐθαύμασαν τοὺς ἁγίους τοὺς μὴ δι' ὀπτασίας, ἀλλ' αὐτῇ τῇ
ἀληθείᾳ ἀντὶ τῆς ἁγίας αὐτῶν κηρωτῆς τὴν ἀπὸ τοῦ λύχνου στοῦππαν
τῇ γυναικὶ ἀντικαταλλάξαντας. ὁρᾶτε τοίνυν, πιστότατοι, πόσα
δυσχερῆ ἡ παρακοὴ κατεργάζεται, καὶ ποίων κρειττόνων καὶ πόσων
ἀγαθῶν ἡ τῆς ὑπακοῆς ἀρετὴ πρόξενος γίνεται. ὑγιὴς τοίνυν γενό-
μενος ὁ ἐν ὑπεροχῇ ὑπάρχων πιστὸς ἀνὴρ μετὰ τῆς αὐτοῦ ὁμοζύγου
καὶ τῆς ταύτης ἀδελφῆς, χαίρων καὶ δοξάζων σὺν αὐταῖς τὸν θεὸν καὶ
412 εὐχαριστῶν τοῖς | εὐαρέστοις αὐτοῦ ἁγίοις Κοσμᾷ καὶ Δαμιανῷ ἀπῆλθεν
ἐν εἰρήνῃ ἐν τῷ οἴκῳ αὐτοῦ.

V^2 | 66 ἔχει τινὰ] ἔχοντι V^2 | αὐτῷ V^{12} | δὲ nach ταύτης zugefügt in V^7 | 67 τὴν στ. vor ἐν V^7 | στοῦπαν V^1 | τῶ λάρυγγι V^2 | 68 καὶ vor ταύτην zugefügt in V^2 | 71 τῇ ἀηδίᾳ] εἰς ἀηδίαν V^1 | 72 στοῦπαν V^1 | 73 mit ἕνεκεν bricht V^1 ab | ἁγίων fehlt in V^7 | 74 ἀναστᾶσα] νομίσασα V^7 | αὐτῆς τῷ fehlt in V^7 | 75 ἰδίω vor ἀνδρὶ (74) V^7 | 76 ἀγανακτήσαντες V^7 | ἠβουλάμην] ιλάμην V^7 | 77 ὥσπερ fehlt in V^7 | οράμασιν V^7 | 80 φορὰν V^7 | 81 Κ. κ. Δ. fehlt in V^7 | 83 ἣν — ὑπὸ] τὴν ἀπο V^7 | 84 οὕτως] ὡς V^7 | 85 δῆθεν fehlt in V^7 | 86 ηὗρον V^7 | τότε] ταυτα V^7 | 89 ἀντικαταλλάξαντος V^2 ἐπιτάξαντας καὶ προς περιοδείαν πρὸσαγαγόντας V^7 verb. W | 90 κρειττόνων] κλημακτήρων V^7 | 93 ταύτης] αὐτῆς V^2 | αυτοῖς V^7 | τ. θεὸν vor σὺν V^2 | 94 ἁγίοις fehlt in V^7 ||

Wunder 17
(17)

περὶ τοῦ ἑξακιονίτου

μεγάλως ἥπλωται τὰ δίκτυα τῆς ἰάσεως τῶν ἐνδόξων τούτων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ· δι' αὐτῶν γὰρ ζωγρεύουσιν τὰ πάθη τῶν ἀσθενούντων καὶ τοῖς κάμνουσιν σύντομον τὴν ῥῶσιν παρέχουσιν, μὴ μόνον τοὺς οἰκείους τῆς πίστεως ἄνδρας θεραπεύοντες, ἀλλὰ καὶ τοὺς μακρὰν τῆς ὀρθοδόξου πίστεως ἀφεστηκότας τῇ προσούσῃ αὐτοῖς ἀγαθότητι καὶ ἀνεξικακίᾳ περιοδεύουσιν. καὶ ἀκούσατε, φιλόχριστοι· πρὸ ἐλαχίστου χρόνου ἦλθεν ἐν τούτῳ τῷ θαυμαστῷ τῶν ἁγίων οἴκῳ ἀνήρ τις τῆς τῶν ἑξακιονιτῶν κακοδόξου αἱρέσεως ὑπάρχων, ἀσθενείᾳ πολλῇ ἐξεταζόμενος· λύσιν γὰρ τῶν γονάτων καὶ τῶν σκελῶν ὑπομείνας | ἀκίνητος τὸ σύνολον ὑπῆρχεν. οὗτος φόβῳ καὶ δέει τινὶ 414 κατεχόμενος οὐκ ἐτόλμησεν ἔσωθεν τοῦ ἐνδόξου καὶ περιφανοῦς τῶν ἁγίων τούτων οἴκου ἑαυτὸν ἀνακλῖναι, ἀλλὰ πρὸς τῷ ἔξω νάρθηκι. καὶ ἀποθέμενος τὰ ἐγκοίτια αὐτοῦ προσεδρεύων ἦν τοῖς ἁγίοις, παρακαλῶν αὐτοὺς καὶ τὴν ἀγανάκτησιν, ἐφ' οἷς ὅλως ἐτόλμησεν προσπελάσαι τῇ θαυμαστῇ αὐτῶν σκηνῇ, κατ' αὐτοῦ παῦσαι καὶ ὡς ἐπὶ πᾶσιν καὶ ἐπ' αὐτῷ τὴν συμπάθειαν αὐτῶν ἐπιδείξασθαι καὶ θεραπεῦσαι αὐτόν. χρόνου δέ τινος παρῳχηκότος καὶ τῆς τοῦ ἀσθενοῦντος κρατυνθείσης νόσου οἱ ἔνδοξοι ἅγιοι καὶ θεράποντες τοῦ σωτῆρος Κοσμᾶς καὶ Δαμιανὸς δι' αὐτοῦ τὴν πάροδον ἐν νυκτὶ ἐποιοῦντο. καί, φησίν, ὁ εἷς ἐξ αὐτῶν τῷ ἑτέρῳ ἔφη· 'τί δοκεῖ περὶ τούτου ὅτι πολὺν ἤδη χρόνον ἔχει;' ὁ δὲ ἄλλος εἰς ὑπήκοον τοῦ ἀσθενοῦντος ἔφη· 'ἄφες αὐτὸν ὧδε ἔξω κεῖσθαι, μὴ γὰρ ἐβράδυνεν; δεῦρο, πρῶτον ἀπολύσωμεν τοὺς τὴν ὀρθόδοξον πίστιν κατέχοντας, καὶ φθάνει οὗτος.' τοῦτο δὲ ἔλεγον οὐχ ὡς ἀλλότριον αὐτὸν τῆς αὐτῶν ἰάσεως κρίνοντες, ἀλλ' ὡς σοφοὶ προθεωροῦντες τῆς ἀπιστίας αὐτοῦ τὴν ἔκβασιν. εἶτα ἀναχωρήσαντες ἀπ' αὐτοῦ | τὴν πρὸς τοὺς ἄλλους ἀσθενεῖς περιοδίαν 416 ἐποιοῦντο. δύο δὲ ἡμερῶν διαγενομένων οἱ θαυμαστοὶ οὗτοι ἅγιοι καὶ εὐάρεστοι τοῦ Χριστοῦ φαίνονται ἐκ δευτέρου τῷ αἱρετικῷ, τὴν πάροδον δι' αὐτοῦ δῆθεν ποιούμενοι, καὶ παρορᾶν αὐτὸν ἐνομίζοντο.

Wunder 17 Hss: $V^{(1)27}$ Titel π. τ. αἱρετικοῦ V^{7} | 1 μεγάλης V^{7} | 2 ἁγίων fehlt in V^{7} | γὰρ fehlt in V^{7} | 3 κάμνουσιν] κρατύνουσιν V^{7} | 4 ἐκ vor τῆς zugefügt in V^{7} | 5 ὀρθοδόξου fehlt in V^{2} | ἀφεστωτας V^{7} | 7 ἐλαχίστου] ὀλίγου V^{7} | 8 κακομάχου V^{2} | ἐν vor ἀσθενείᾳ zugefügt in V^{7} | 9 γὰρ] τε V^{7} | τῶν vor σκελῶν fehlt in V^{7} | 12 τοῦτου V^{7} | τῷ] τὸ V^{2} | 13 καὶ fehlt in V^{7} | προσεδρ. ἦν] προσέδρευεν V^{7} | 14 mit der Silbe σεν von ἐτόλμησεν tritt V^{1} hinzu | 15 καὶ — πᾶσιν fehlt in V^{1} | 16 ἐπ' αὐτὸν V^{2} | 18 θεραπευταὶ V^{7} | Κ. κ. Δ. fehlt in V^{1} | 20 ἔφη fehlt in V^{2} | χρ. ἤδη V^{2} | 21 ὑπακούοντος V^{2} | ἀσθενοῦς V^{2} | 22 πρῶτον] fehlt in V^{1} πρότερον V^{7} | 24 κρίναντες V^{7} | 25 προεθεώρουν V^{1} | ἀναχωροῦσιν V^{2} | 27 δὲ fehlt in V^{7} | καὶ vor οἱ zugefügt in V^{7} | οὗτοι fehlt in V^{7} | 29 δῆθεν vor δι' V^{7} |

πάλιν οὖν ὁ εἷς ἐξ αὐτῶν πρὸς τὸν ἕτερον εἶπεν· 'πολὺν χρόνον ἔχει ἔξω τοῦ οἴκου ἡμῶν ὑπάρχων, καὶ ὀφείλει λοιπὸν τεύξασθαι τῆς ἐξ ἡμῶν θεραπείας.' ὁ δὲ ἄλλος ἀποκριθεὶς πρὸς αὐτὸν ὀργίλως ἔφη· 'εἴ τι βούλει, συντόμως γένηται ἐπ' αὐτῷ, καὶ ἐξέλθῃ ἐκ τοῦ οἴκου ἡμῶν, ἵνα μὴ τὸν τόπον ἀπασχολῇ.' ἐγείραντες τοίνυν αὐτὸν ἀμφότεροι καθεύδοντα χειρουργοῦσιν αὐτοῦ ἀοράτως τοὺς δύο μηρούς. τούτου δὲ γενομένου παρ' αὐτῶν, ὁ εἷς ἐξ αὐτῶν ἀγαγὼν σκύφον καὶ σπόγγον καὶ δὶς τὸν σκύφον γεμίσας ἐκάθαρεν πάντας τοὺς σεσηπότας τόπους, καὶ ἐπιδήσαντες αὐτοῦ ἀμφότεροι τοὺς δύο μηροὺς κατέλιπον αὐτόν. τοῦ περιοδευθέντος γοῦν ὑπὸ τὸν ὄρθρον διυπνισθέντος καὶ μὴ συνιέντος τὴν εἰς αὐτὸν γενομένην ὑπὸ τῶν ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ θαυματουργίαν, ἀνακαθεσθεὶς ἐκ τοῦ
418 *στρώματος αὐτοῦ ἐπειρᾶτο εἰς τὰ ἀναγκαῖα | ἀπιέναι. καὶ ἀναστὰς ὁ ἀκίνητος τῇ τῶν ἁγίων χάριτι ἐξῆλθεν ὑπ' οὐδενὸς κρατούμενος, καὶ φθάσας τὸν ἐπιτήδειον τῆς χρείας τόπον ἐσύκωσεν τοὺς χιτῶνας αὐτοῦ πρὸς τὸ καθεσθῆναι, καὶ θεασάμενος τοὺς ἐπιδέσμους κατὰ τῶν δύο αὐτοῦ μηρῶν ἐπικειμένους, ἐν ἑαυτῷ γενόμενος καὶ τῆς ἐν τῇ νυκτὶ ὀπτασίας ἑαυτὸν ἀναμνήσας, τότε ᾔσθετο τῆς τοῦ θεοῦ βοηθείας καὶ τῆς τῶν θεραπόντων αὐτοῦ ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ χάριτος. λοιπὸν τῇ ἐπιούσῃ νυκτὶ φανέντες αὐτῷ οἱ ἅγιοι καὶ τὸ ἀμετάθετον τῆς σκληροκαρδίας αὐτοῦ τῆς αἱρέσεως χάριν εὑρηκότες λέγουσιν αὐτῷ, φησίν, μετ' ὀργῆς· 'ἰδέ, ὑγιὴς γέγονας, οὐδὲν κακὸν ἔχεις. μὴ εὑρεθῇς ἐνταῦθα, μισοῦμεν γάρ σε ὡς αἱρετικόν.' καὶ μηδεὶς σκληρὸν ἢ ἄπιστον τοῦτο νομίσῃ. πραγματευόμενοι γὰρ οἱ ἅγιοι τὴν αὐτοῦ σωτηρίαν τὴν περιοδίαν τῆς θεραπείας πρὸς αὐτὸν ὑπερετίθεντο· ὅθεν τούτοις πρὸς*
420 *αὐτὸν ἐχρήσαντο τοῖς λόγοις. ὑγιὴς τοίνυν | οὗτος γενόμενος, εὐχαριστήσας τῷ θεῷ καὶ διηγησάμενος ταῦτα πάντα καὶ τὰς τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ εὐεργεσίας ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ.*

---

31 *ἐξ* fehlt in V[7] | 32 *φησιν* V[2] | 33 *βούλῃ* V[7] | *ἀσγένηται* V[2] | *αὐτὸν* V[2] | 34 *ἐγείρουσιν* V[7] | *ἀμφότεροι* fehlt in V[7] | 35 *καὶ* vor *χειρουργοῦσιν* zugefügt in V[7] | 36 *δὲ* fehlt in V[2] | *γεναμένου* V[7] | *σκύφην* V[2] | 37 *τὴν σκύφην* V[2] | *ἐκάθηρε* V[2] | 38 *αὐτῷ* V[7] | 39 *κατέλειπον* V[17] | *τοῦ*] *τούτου* V[2] *τουδὲ* V[7] | *περιοδευθέντος*] *προελθόντος* V[2] | *γοῦν* fehlt in V[7] | *ὑπὸ*] *προς* V[7] | *διύπνησθεὶς* V[7] | 40 *ἁγ. ἐνδ.* V[7] | 43 *ἀκίνητος*] *ἀνακείμενος* V[7] | 44 *ταις χρείαις* V[7] | *ἐσίκοσεν* V[7] | 46 *γινόμενος* V[7] | 47 *ἀναμνημονήσας* V[2] | *αἴσθετο* V[7] | *ἀπο* vor *τοῦ* zugefügt in V[1] | 48 *αὐτοῦ* fehlt in V[2] | *ἁγ.* vor *θερ.* V[7] | 49 *καὶ* vor *λοιπὸν* zugefügt in V[1] | *αὐτοῦ* V[7] | *ἀμετάθετον*] *ἄμετρον* V[7] | 50 *εὑρόντες* V[7] | 51 *φησίν* fehlt in V[2] | 52 *μηδὲν* V[2] | 53 *νομήσητε τοῦτο* V[2] | 54 *αὐτοῦ* nach *τῆς* zugefügt in V[7] | 56 *τὲ* vor *τῷ* zugefügt in V[7] | 57 *δοξάζων τὸν θν̄* nach *αὐτοῦ* zugefügt in V[7] ‖

Wunder 18 (18)

περὶ τοῦ παιδαγωγοῦ, ᾧτινι συνώδευσαν οἱ ἅγιοι

τούτων τῶν μεγάλων ἰάσεων γινομένων οὐ συγχωροῦσιν οἱ ἔνδοξοι οὗτοι ἅγιοι μετὰ τοσαύτην πεῖραν εὐεργεσιῶν ἡσυχάζειν τινά, ἀλλὰ καὶ τοὺς λίαν ἀπαιδεύτους διεγείρουσιν, ὀξύνοντες τὰς γλώττας τούτων πρὸς εὐφημίαν τῶν κατορθωμάτων αὐτῶν. ἡ δὲ τοῦ ἐσομένου θαύματος διήγησις πάντα λόγον ὑπερβαίνουσα τοῦτό με εἰπεῖν προετρέψατο. ἀνὴρ γάρ τις εὐλαβὴς καὶ ἐπιεικὴς σεμνότητά τε μετ' εὐσεβείας διώκων, ἀχθεὶς δὲ καὶ διὰ λόγων καὶ οὐδὲ ἀμύητος τῶν θείων ὑπάρχων γραφῶν (ταῦτα γὰρ τὰ ῥητὰ καὶ τὸ γενόμενον ἐπ' αὐτῷ παράδοξον θαῦμα εἰς ἔπαινόν με τοῦ ἀνδρὸς προτρέπεται), οὗτος ἐξ ἑτέρας ὁρμώμενος χώρας διαφόρως κατέλαβεν τὴν φιλόχριστον ταύτην πό|λιν καὶ ἤκουσεν τῶν κοινῶν εὐεργετῶν καὶ θεραπόντων τοῦ 422
Χριστοῦ Κοσμᾶ καὶ Δαμιανοῦ τὰ θαύματα καὶ τὰς τῶν θλιβομένων εὐεργεσίας. εἶτα πρὸ βραχέως χρόνου πάλιν ἐπιστὰς τῇ βασιλίδι πόλει καὶ ζήλῳ τρωθεὶς πρὸς τοὺς ἐνδόξους τούτους ἁγίους δι' αὐτοὺς πλέον, λοιπὸν δὲ καὶ διὰ πολλὰ ἄλλα τῆς μεγαλωνύμου ταύτης πόλεως, τὴν ἰδίαν οἴκησιν ἐνταῦθα μεταγαγεῖν ἠβουλήθη. καὶ τοῦ τοιούτου σκοποῦ ἐν αὐτῷ κρατυνθέντος ἀδιάλειπτον τὴν πρὸς τοὺς ἐνδόξους τούτους ἁγίους ἐποιεῖτο προσεδρίαν τε καὶ ἱκεσίαν, δεόμενος αὐτῶν καθ' ἑκάστην ἀπιδεῖν εἰς τὸν πόθον, ὃν ἔχει περὶ αὐτούς, καὶ δοῦναι αὐτῷ πρόφασιν ἐν τῇ πόλει ταύτῃ περιποιοῦσαν αὐτῷ τὰ πρὸς ἀποτροφὴν καὶ λοιπὰ ἐπιτήδεια πρὸς τὸ αὐτὸν ἀνενδεῆ ὑπάρχοντα τὴν ἐπιθυμίαν τὴν τοῦ ἐνταῦθα οἰκητηρίου πληρῶσαι. ταύτης τῆς ἱκετηρίας ἀπαύστως παρ' αὐτοῦ προσαγομένης ἐπὶ χρόνον τινὰ τῶν τε δαπανημάτων ὧν ἐπεφέρετο ἀναλωθέντων, εἰς πολλὴν ὀλιγωρίαν φθάσας ἠβούλετο ὡς ἀστοχήσας τοῦ σπουδαζομένου τὴν ἐνεγκαμένην λοιπὸν καταλαβεῖν. καὶ τὰ μὲν ἱμάτια ἅπερ ἐπεφέρετο ἠσφα|- 424
λίσατο, ἐπιστὰς δὲ τῷ τῶν ἐνδόξων ἁγίων τούτων οἴκῳ, τῷ μὴ μόνον τὰς ψυχικὰς καὶ σωματικάς, ἀλλὰ καὶ χρηματικὰς θεραπεύοντι χρείας, ἐξ ὑπερβαλλούσης θλίψεως σκληρὰ καὶ ἄτοπα καὶ ἀπρεπῆ καὶ μεστὰ

Wunder 18 Hss: $V^{127(8)}$ Titel fehlt in V^7 π. τ. ξενοπολίτου ἀνδρὸς παιδαγ. V^1 | 2 οὗτοι fehlt in V^7 | τινὶ V^1 | 4 τούτων] αὐτῶν V^1 | 5 πάντα — προσαγομένης (23) fehlt in V^2 | με] μοι V^1 | 6 γάρ fehlt in V^7 | τε] την δε vor σεμνότητα V^7 | εὐσεβείας] εὐλαβείας V^1 | 7 διώκων] διάγων V^7 | ἀχθεὶς — λόγων fehlt in V^7 | 8 γὰρ] δὲ V^7 | ῥητὰ] ἐρετὰ V^7 | ἐπ' αὐ.] παρ' αὐτῶν V^1 | 9 με fehlt in V^7 | 13 ταῦτη vor πόλει zugefügt in V^7 | 14 τούτους fehlt in V^7 | δι' αὐ. πλ. fehlt in V^7 | 15 δὲ fehlt in V^7 | μεγαλοτύμου V^7 | 16 ἠβουλήθη] ἠδυνήθη V^7 | 18 τε fehlt in V^7 | 19 περὶ] προς V^7 | 21 αὐτὸν] τοῦτον V^7 | 22 τε nach ταύτης zugefügt in V^7 | 24 τε] δὲ V^7 | 25 ἐβοῦλετο V^7 ἐβουλεύσατο V^1 | 27 ἐνδόξων fehlt in V^7 | ἁγίων fehlt in V^1 | 29 τινὰ nach σκληρὰ zugefügt in V^7 |

ἐγκλημάτων ῥήματα κατὰ τῶν δούλων τοῦ Χριστοῦ Κοσμᾶ καὶ Δαμια-
νοῦ ἀπεφθέγξατο, ὧν οὐκ ἄν τις τῶν χριστιανῶν εἰς ἐνθύμησιν λάβοι,
οὐ λέγω εἰπεῖν ἐτόλμησεν, ἐπιθέτας ἀποκαλῶν τοὺς ἁγίους καὶ μηδε-
μίαν ἐνέργειαν εὐεργεσίας κεκτημένους, ἀλλὰ μάτην καὶ ἔκ τινος προ-
λήψεως τὴν δόξαν τοῦ δύνασθαι παρὰ θεῷ ἔχοντας. καὶ ἁπλῶς τοι-
αῦτα καὶ δεινότερα τούτων εἰπὼν καὶ ἐνθυμηθεὶς τῆς ἐπὶ τὴν πόλιν
τῶν ἐντεῦθεν εἴχετο ὁδοιπορίας. εἰσελθὼν δὲ κατὰ πάροδον ἐν τῷ
σεπτῷ οἴκῳ τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας τῷ
ἐπιλεγομένῳ ἐν Βλαχέρναις ζέων ἔτι τῷ θυμῷ ηὔξατο. ἀκούσατε τοί-
νυν, φιλόχριστοι, ὑπερβάλλοντος ὕψους τῶν θαυμαστῶν τούτων ἁγίων
Κοσμᾶ καὶ Δαμιανοῦ συγκατάβασιν. ἀντ' οὐδενὸς γὰρ θέμενοι τὸν
426 τοσοῦτον ὄγκον τῆς τοῦ θλιβομένου | κατ' αὐτῶν προπετείας, ἀνεξι-
κακίᾳ δὲ μᾶλλον καὶ συμπαθείᾳ χαίροντες, ἐν τῷ ἐξιέναι ἀπὸ τοῦ
οἴκου τῆς δεσποίνης ἡμῶν τῆς εὐλογημένης φαίνονται αὐτῷ οἱ δύο
ἐν σχήματι κληρικῶν. καὶ κολλῶνται αὐτῷ οἱ δύο καὶ λαβόντες αὐτὸν
μέσον ἐπειρῶντο μανθάνειν παρ' αὐτοῦ, ποῦ ἀπέρχεται καὶ τί ἔχει
καὶ διὰ τί οὕτως σκυθρωπὸς ὑπάρχει. ὁ δὲ ἔτι θυμοῦ καὶ ὀργῆς
γέμων οὐκ ἐπαύετο τῶν ὕβρεων, λέγων αὐτοῖς ὡς δῆθεν κληρικοῖς
ὅτι· 'καὶ ὑμεῖς ἐπιθέται ἐστὲ ὅμοιοι τῶν ἐκεῖσε ἄνω ἐχόντων τὸ
μαρτύριον· καὶ εἰ μὴ ὑποχωρήσητε ἀπ' ἐμοῦ, ὡς ἔστιν ἡ καρδία μου
πεπικραμμένη, πάσης ὑμᾶς ἀτιμίας ἐμπλήσω.' τῶν δὲ μικρὸν αὐτῷ
ἐνδεδωκότων καὶ πάλιν πλησιασάντων αὐτῷ ἐν τῇ ὁδῷ καὶ τὰ αὐτὰ
ἐρωτώντων καὶ ἐπικειμένων γνῶναι παρ' αὐτοῦ τὴν αἰτίαν τῆς το-
σαύτης ἐκκαύσεως κἀκείνου ἐπιμένοντος τῇ ὀργῇ κατ' αὐτῶν, καὶ ἐν
τούτῳ μιμούμενοι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οἱ αὐτοῦ θερά-
ποντες Κοσμᾶς καὶ Δαμιανός, τὸν ἀνασχόμενον διὰ τὴν τῶν ἀνθρώ-
πων σωτηρίαν πάντα ἑκουσίως ὑπομεῖναι, οὐκ ἀπέστησαν τοῦ ἐξ ὀλι-
428 γωρίας βαρεῖα πρὸς αὐτοὺς λέγον|τος, ἀλλὰ πραγματεύονται αὐτῷ τὴν
σωτηρίαν. καὶ αὖθις γοῦν μετ' ὀλίγον πλησιάσαντες αὐτῷ κατὰ τὴν

---

30 *Χριστοῦ*] *θῦ* V^{2} | 31 *ἀπεφθέγγετο* V^{7} | *λαβὼν* V^{7} | 32 *καλῶν* V^{2} | 35 *τῆς* in *τὴν* verb. V^{7} | *τ. πόλιν*] *της ἐνεγκάμένης* V^{7} | 36 *ἐνταῦθα* V^{7} | *ὁδοιπορείαν* V^{7} | *δὲ*] *τε* V^{2} | *καὶ* vor *κατὰ* zugefügt in V^{2} | 37 *οἴκῳ*] *ναῷ* V^{7} | *ἁγίας* fehlt in V^{1} | *παρθένου* fehlt in V^{7} | 38 *ἔτι*] fehlt in V^{1} *ἐπὶ* V^{2} | *τοῦ θυμοῦ* V^{2} | 41 *αὐτοὺς* V^{2} | 42 *αὐτὸν* nach *ἐξιέναι* zugefügt in V^{1} | 43 *τ. δεσπ. ἡμ.* fehlt in V^{7} | *τ. εὐλ. δεσπ. ἡμ.* V^{1} | *θεοτόκου καὶ ἀεὶ παρθένου μαρίας* vor *φαίνονται* zugefügt in V^{1} | *οἱ δύο* fehlt in V^{7} | 45 *μαθεῖν* V^{7} | *ποῦ* fehlt in V^{7} | 47 *ἐπαύσατο* V^{1} | 49 *ὑποχωρεῖται* V^{7} | 50 *ἐμπλ. ἀτιμ.* V^{7} | 52 *ἢ* vor *καὶ* zugefügt in V^{7} | *τοιαύτης* V^{2} | 53 *τῇ* fehlt in V^{7} | 54 *αὐτοὶ* V^{17} | 55 *τοῦ χ̅ῦ̅* nach *θεράποντες* zugefügt in V^{1} | *τ. ἀνασχ.*] *ἀνασχόμενοι* vor *θερ.* (54) V^{7} | 57 *βαρέα* V^{7} | *αὐτῷ*] *αὐτοῦ* V^{7} | 58 *γοῦν*] *οὐ* V^{7}

ὁδὸν συμπαθητικῷ χαρακτῆρι συνοδεύοντες ἔλεγον αὐτῷ· ‘μέχρι τίνος οὕτως ἀθυμεῖς καὶ οὐδὲ ἡμῖν θαρρεῖς τὰ τῆς σῆς ὀλιγωρίας οὐδὲ καταστέλλεις σεαυτῷ τὰ τῆς λύπης;’ τοῦ δὲ ἐκ τῆς ἐπιμόνου αὐτῶν ἀνεξικακίας καὶ τῆς ἐπιτάσεως τῆς ἐν ἡμέρᾳ ὁδοιπορίας χαυνωθέντος μικρὸν ἀπὸ τοῦ ἰδίου τόνου καὶ λέγοντος αὐτοῖς· ‘ὑποκεκριμένως οὕτως με ἐπερωτᾶτε ὡς δυνάμενοι καὶ τὸ αἴτημά μου παρασχεῖν’· ταῦτα ἀκούσας παρ’ αὐτοῦ ὁ εἷς τῶν ἁγίων ἔδοξεν τῇ ἐκείνου προθέσει ἀκολουθῶν, ὡς ἐπιστάμενος τὸν ἐκείνου σκοπόν, λέγειν αὐτῷ· ‘τί ἡμῖν δίδως, ἐὰν τὴν ἐπιθυμίαν σου πληρώσωμεν;’ τοῦ δὲ ἀπωθουμένου τοὺς τοιούτους λόγους, πάλιν λέγει αὐτῷ ὁ εἷς τῶν συνοδευόντων αὐτῷ δῆθεν κληρικῶν· ‘εἰ παρέχεις ἡμῖν μίαν χρυσίου λίτραν, κατορθοῦμέν σοι τὸ σπουδαζόμενον.’ ὃ δὲ πρὸς τὴν δόσιν τῶν χρημάτων ἀπιδὼν πλέον ἠγανάκτει κατ’ αὐτῶν καὶ ἐν ἀθυμίᾳ ὑπάρχων ἀκαθηκόντως ἐνόμισεν τὴν τοιαύτην ἐρώτησιν πρὸς αὐτὸν γίνεσθαι. εἶτα ἀντιλαβό|μενος ὁ ἄλλος λέγει αὐτῷ· ‘οὔτε πεντήκοντα 430
οὔτε τριάκοντα οὔτε εἴκοσι οὔτε δέκα νομίσματα αἱρῇ ἡμῖν παρασχεῖν, ἵνα καὶ τὴν θλῖψίν σου θεραπεύσωμεν καὶ τὸ ἐπιζητούμενον παρά σου κατορθώσωμεν;’ τοῦ δὲ ἀγανακτοῦντος πλέον καὶ φήσαντος πρὸς τοὺς ἀμφοτέρους ὅτι· ‘οὐδένα ὀβολὸν ὑμῖν ἀνέχομαι παρασχεῖν· οὐδὲ γὰρ δύνασθε τὸν πόνον τῆς ψυχῆς μου ἰάσασθαι, χλεύης γὰρ ῥήματά μοι προβάλλεσθε’, ὁ πρῶτος προτείνας αὐτῷ καταστέλλει τὴν πᾶσαν δόσιν τῆς χάριτος καὶ λέγει τῷ ἄλλῳ δῆθεν κληρικῷ· ‘ἄφες αὐτόν, ἀδελφέ’, καὶ στραφεὶς ἔφη τῷ θλιβομένῳ· ‘οὐδέν σε πολὺ ζητοῦμεν· δέκα ὀβολῶν θυμιάματα δὸς ἡμῖν, καὶ ἐν πᾶσίν σε θεραπεύομεν.’ τοῦ δὲ καὶ πρὸς αὐτὴν τὴν εὐτελῆ δόσιν ἐξ ὀλιγωρίας ἰλιγγιῶντος, οἱ ἅγιοι τὸ σκληρὸν αὐτοῦ τῇ οἰκείᾳ ἀνεξικακίᾳ καταμαλάσσοντες, ἅμα δὲ καὶ παριστῶντες αὐτῷ, ὅτι δύνανται τὴν πρὸς αὐτὸν ἐπαγγελίαν δι’ αὐτῶν τῶν ἔργων ἀληθῆ ἀποδεῖξαι, λέγουσιν αὐτῷ· ‘εἰ καὶ μὴ ἐθάρρησας ἡμῖν τὰ τοῦ οἰκείου σου σκοποῦ, ἰδοὺ

---

59 *συμπ. χαρ.* fehlt in V^{2} | *λέγουσιν* V^{1} | 60 *σῆς* fehlt in V^{7} | 61 *ἑαυτῷ* V^{7} | 62 *καὶ* nach *ἐπιτάσεως* zugefügt in V^{2} | *τῆς* vor *ἐν* fehlt in V^{17} | 63 *πόνου* V^{7} | *αὐτοῦ* V^{7} | *ὑποκεκριμμένως* V^{2} *ὑποκεκρυμένως* V^{7} | 64 *με*] *μοι* V^{1} | *ἐρωτᾶτε* V^{2} *ἐπερωτήσαται* V^{7} | *μου*] *μοι* V^{2} | 66 *τὸν*] *τὴν* V^{7} | 67 *τοῦ*] *τούτου* V^{2} | *ἀποθησαμένου* V^{7} | 69 *λίτρ. χρυσ.* V^{7} | 70 *σοι*] *σου* V^{1} | *δώσει* V^{7} | 72 *οὐ καθηκόντως* V^{2} | 73 *γενέσθαι* V^{7} | *ἀντιλαμβανόμενος* V^{1} | 74 *οὔτε τριάκ.* fehlt in V^{7} | *αἱρεῖ* V^{1} *ἐρῆσε* V^{7} | *παρασχεῖν*] *δοῦναι* V^{2} | 76 *ἀγανακτίσαντος* V^{7} | 77 *ἄμφω* V^{7} | *ὑμῖν* fehlt in V^{7} | 78 *χλεύην γ. ρημάτων* V^{1} | 79 *προτείνας — καὶ* (80) fehlt in V^{7} | 80 *λέγει* vor *ὁ* (79) V^{7} | *αὐτῷ* vor *τῷ* zugefügt in V^{2} | *δῆθεν* vor *τῷ* V^{1} | 81 *αὐτῷ* V^{2} | *ἔφη*] *εἶπεν* V^{7} | *σε*] *σοι* V^{7} | *πολὺν* V^{2} | 82 *ἢ* vor *δέκα* zugefügt in V^{7} | *θυμίαμα* V^{1} | *θερ. σε* V^{2} | 83 *αὐτὴν*] *ταύτην* V^{2} | 84 *ἠλιγγιοῦντος* V^{7} | 87 *σου* fehlt

ἡμεῖς φανεροῦμέν σοι, ἅπερ ἐνόμισας λανθάνειν ἡμᾶς· παιδαγωγὸς
432 ὑπάρχεις καὶ τὴν πό|λιν ταύτην οἰκῆσαι δι' ἡμᾶς ἀγαπᾷς, καὶ αἰτεῖς
πρόφασιν τῶν ἐπιτηδείων δοθῆναί σοι πρὸς διατροφήν, καὶ διὰ ταῦτα
τῇ τοιαύτῃ δυσμενείᾳ καὶ ὀργῇ καθ' ἡμῶν ἐχρήσω. δεῦρο ἀκολού-
θησον ἡμῖν, καὶ ἡμεῖς δείξομέν σοι καὶ τὸν τόπον, ἐν ᾧ ὁ χρήζων
σου παραμένει ἀνήρ. φανεροῦμεν δέ σοι καὶ τὸ ὄνομα καὶ τὴν αὐτοῦ
στρατείαν, ὥστε σε τὸ ἀνενδεὲς ἐξ αὐτοῦ ἔχειν κατὰ τὴν σὴν αἴτησιν
καὶ οἰκήτορα εἶναι, εἰ βουληθείης, ταύτης τῆς μεγαλωνύμου πόλεως.'
ὢ τῆς ὑπερβαλλούσης τῶν ἁγίων ἀνεξικακίας, ὢ τοῦ φοβεροῦ θαύ-
ματος, ὢ τῆς αὐτῶν προγνώσεως, ὢ τῆς αὐτῆς συμπαθείας καὶ
παροχῆς· καὶ ἁπλῶς συνοδεύσαντες τῷ θλιβομένῳ, καθὰ προείρηται,
ἐν ἡμέρᾳ ὁρατῶς ἐν σχήματι κληρικῶν καὶ ἐλθόντες σὺν αὐτῷ
ἕως τοῦ σκοτεινοῦ ἐμβόλου μέχρι τοῦ μεγάλου τῶν ἐπάρχων πραι-
τωρίου τῷ ἰδίῳ δακτύλῳ δεικνύουσιν αὐτῷ οἱ ἅγιοι τὸ σκρινίον, ἔνθα
ὁ σκρινιάριος ὁ ἔχων τὸν υἱὸν καὶ χρήζων παιδαγωγοῦ ἐστρατεύετο·
434 λέγουσιν δὲ αὐτῷ καὶ τὸ | ὄνομα αὐτοῦ. οὐδὲν δὲ ἧττον φανεροῦσιν
αὐτῷ καὶ τὸν τούτου συναλλακτήν, δι' οὗ δῆθεν ἡ πρὸς τὸν σκρινιάριον
πρὸς αὐτὸν συντυχία ἤμελλεν γίνεσθαι, εἰπόντες αὐτῷ· 'ἰδοὺ ἔχεις τὰ τῆς
ἀποτροφῆς, καὶ μέμνησο τῶν θυμιαμάτων τῶν δέκα ὀβολῶν καὶ μὴ ἔσο
οὕτως τραχὺς καὶ ὑβριστής· ἡμᾶς γὰρ τοῦ λοιποῦ ἐν ταύτῃ τῇ θέᾳ
ἰδεῖν οὐ δυνήσῃ.' καὶ ἀφανεῖς γεγόνασιν ἀπ' αὐτοῦ. τοῦ δὲ ἔτι ἐκ
τῆς ὀλιγωρίας μηδὲ πιστεύσαντος μηδὲ συνιέντος τὴν τῶν ἐνδόξων
ἁγίων ἐπ' αὐτῷ γενομένην ἄμετρον φιλανθρωπίαν τε καὶ συγκατάβασιν,
ἀντ' οὐδενὸς τοὺς λόγους αὐτῶν θέμενος ἐπὶ τὸν ἴδιον οἶκον ὥρμησεν.
μιᾶς τοίνυν ἡμέρας διαγενομένης καὶ μέλλοντος αὐτοῦ κατὰ τὴν ἑξῆς
τῶν ἐντεῦθεν ἀποπλεῖν ὁ τοῦ ὑποδειχθέντος αὐτῷ παρὰ τῶν ἐνδόξων
ἁγίων σκρινιαρίου συναλλακτής, ἐν γνώσει τούτου ἐκ ψιλῆς συντυ-
χίας κατ' οἰκονομίαν θεοῦ ὑπάρχων, πέμψας ἐν τῷ οἴκῳ αὐτοῦ δηλοῖ
436 αὐτῷ ὅτι· 'σκύληθι ἐν τῷ | ἐργαστηρίῳ· τινὰ γάρ σοι διαλεχθῆναι

---

in V^{2} | 88 φανεροῦμεν] θαρροῦμεν V^{7} | λαθεῖν V^{2} | γὰρ nach παιδαγωγὸς zugefügt in V^{2} | 89 ἠγάπησας V^{1} | αἰτεῖς] ζητεῖς V^{1} | 92 καὶ τὸν fehlt in V^{7} | 93 ἀνὴρ παραμένειν V^{7} | σὺ δὲ V^{7} | 94 σε fehlt in V^{7} | 95 οἰκειώτερος V^{7} | σε nach εἶναι zugefügt in V^{1} | ταύτης fehlt in V^{7} | 98 εἴρηται V^{7} | 99 ἐν ἡμ. ὁρ. vor καθὰ (98) V^{2} | ὡς nach ὁρατῶς zugefügt in V^{1} | 100 πραιτ. τ. ὑπάρχων V^{7} | 101 σκηνίον V^{1} | 102 παιδ.] τὸν παιδαγωγὸν V^{2} | 103 αὐτῷ fehlt in V^{7} | αὐτοῦ vor καὶ V^{7} | 104 τούτου] fehlt in V^{7} αὐτοῦ V^{1} | δι' οὗ] ὅπου V^{7} | 106 ἔσω V^{17} | 107 τ. λοιπ. fehlt in V^{2} | 108 ἰδεῖν] ειδέναι V^{7} | δύνασαι V^{7} | ἔτι fehlt in V^{2} | 109 μὴ πισθέντος μήτε ἐνθυμιθέντος V^{7} | 110 αὐτῶν V^{1} | ἄμετρον] ἄφατον V^{2} | 112 διαγινομένης V^{7} | 115 κατα δημιουργίαν V^{7} | θεοῦ fehlt in V^{7} | 116 σκύλθητι V^{7} | διαλ. σοι V^{7} |

βούλομαι'. τοῦ δὲ ἐσθίοντος καὶ τὴν τροφὴν τῆς ἐκείνου προτιμήσαντος συντυχίας, δηλώσαντός τε αὐτῷ ὅτι· 'εἰ βούλει, σκύληθι αὐτὸς πρός με', καταλιπὼν ἐκεῖνος τὸ ἴδιον ἐργαστήριον εὐθὺς μετὰ σπουδῆς παραγίνεται εἰς τὸν οἶκον τούτου. οἱ γὰρ ἔνδοξοι ἅγιοι Κοσμᾶς καὶ Δαμιανὸς γινώσκοντες αὐτοῦ τὴν ὀλιγωρίαν καὶ τὴν ἐντεῦθεν τῆς διανοίας σύγχυσιν ἤπειγον τὴν χρείαν, φανερῶσαι αὐτῷ σπουδάζοντες τὰ τῆς αὐτῶν εἰς αὐτὸν δυναστείας τε καὶ παροχῆς, ὅπως μὴ λογίσηται αὐτοὺς τοῦ λοιποῦ κληρικοὺς ἢ κοινοὺς ἀνθρώπους. ἐλθὼν γὰρ πρὸς αὐτόν, ὡς ἀνωτέρω εἴρηται, ὁ τοῦ σκρινιαρίου συναλλακτὴς ὅλον αὐτῷ τὸ τῆς τῶν ἐνδόξων ἁγίων οἰκονομίας ἐπ' αὐτῷ μυστήριον θαρρεῖ, φήσας ὅτι· 'ἐκ τῆς πόλεως ταύτης τοῦ λοιποῦ ἐξελθεῖν οὐ δύνῃ. ἔπεμψεν γάρ σοι χρείαν ὁ θεός, ἥτις τὰ πρὸς ἀποτροφήν σοι χορηγεῖ. σκρινιάριος γὰρ τῶν ἐπάρχων τις υἱὸν ἔχει ἐν ἀναγνώσμασιν ἀπασχολούμενον, καὶ ἔκ τινος προνοίας γνοὺς τὰ τῆς σῆς ἐπιεικείας βούλεταί σε | ἐν τῷ ἰδίῳ οἴκῳ ἔχειν. ἀνάσχου 438
οὖν καὶ παιδαγώγησον τὸν υἱὸν αὐτοῦ, καὶ ἔχεις εὐχαριστῆσαι τῷ κυρίῳ.' καὶ ἁπλῶς καταγαγὼν αὐτὸν ἐκ τοῦ οἴκου αὐτοῦ παραδέδωκεν αὐτὸν ἐν τῷ πραιτωρίῳ τῶν ἐπάρχων τῷ τοιούτῳ σκρινιαρίῳ, πρὸς ὃν οἱ ἔνδοξοι ἅγιοι Κοσμᾶς καὶ Δαμιανὸς πεπόμφασιν αὐτόν, εἰπόντες αὐτῷ καὶ πάντα αὐτοῦ τὰ σημεῖα. ὅταν τοίνυν οὗτος ὁ τότε προπετής, ἐξ ἀθυμίας σκιρτήσας κατὰ τῶν ἁγίων, νῦν δὲ πρόβατον τῆς σκηνῆς αὐτῶν ὑπάρχων, ἐπέγνω τὸν τόπον τοῦ ὑποδειχθέντος αὐτῷ ὑπ' αὐτῶν σκρινιαρίου, ἀκήκοεν δὲ καὶ τὸ ὄνομα τούτου, συνῆκεν τὴν τῶν θαυμαστῶν τούτων ἁγίων ἐπ' αὐτῷ γενομένην φοβερὰν διοίκησιν. καὶ ἐξ ἐκείνου, ἀφ' οὗ τὴν τοῦ παιδαγωγοῦ τοῦ υἱοῦ τοῦ σκρινιαρίου μετέρχεται χρείαν, ἐξ ἧς καὶ τὰ ἀρκοῦντα αὐτῷ διὰ τῶν ἁγίων ἔχει, μέχρι τοῦ παρόντος ἐν ἑκάστῃ παρασκευῇ τῶν δέκα ὀβολῶν τὰ θυ-

---

117 *τε* nach *ἐκείνου* zugefügt in V^7 | 118 *ἐδίλωσεν* V^7 | *τε* fehlt in V^7 | *σκύλθητι* V^7 | 119 *καὶ* vor *καταλιπὼν* zugefügt in V^2 *οὖν* nach *καταλ.* in V^7 | *ἐκεῖνος*] *αὐτὸς* V^2 | 120 *τούτου*] *αὐτοῦ* V^1 | 121 *αὐτοῦ* fehlt in V^7 | 122 *αὐ. φαν.* V^7 | 123 *δυναστείας*] *διδασκαλίας* V^7 | *τε* fehlt in V^7 | 124 *ἀνθρ.*] *τῶν ἀνθρώπων* V^2 | 125 *γὰρ*] *δὲ* V^7 | *ὡς — ὁ*] *ὁ ἀνωτέρω εἰρημένος* V^7 | *σκρινιάρχου* V^7 | 126 *τὸ* fehlt in V^1 | *τῶν* fehlt in V^2 | 127 *αὐτῷ* nach *θαρρεῖ* zugefügt in V^7 | 128 *σοι γὰρ* V^7 | *ὁ θ. χρ.* V^2 | *τὰ πρὸς* fehlt in V^7 | 129 *τροφήν* V^2 | *χωρηγήσει* V^1 *παρ͂◡χει* (das Zeichen zwischen *ρ* und *χ* gleicht der Abkürzung für *ας*) V^7 | *τις τ. ἐπάρχ.* V^2 *ἐπάρχ. τις* V^1 *τῶν ὑπάρχον* (*ω* über *ο*) *τίς* V^7 | 130 *ἔχων* V^7 | 133 *αὐτὸν*] *τοῦτον* V^2 | *παρέδωκεν* V^7 | 134 *αὐτὸν* fehlt in V^2 | 135 *ἔνδοξοι* fehlt in V^2 | *ἅγιοι* fehlt in V^7 | *αὐτὸν* fehlt in V^2 | 136 *αὐτοῦ*] fehlt in V^1 nach *τὰ* V^7 | *ὁ τότε*] *ὅτε* V^2 | 137 *καὶ* vor *σκιρτήσας* zugefügt in V^2 | *δὲ* fehlt in V^2 | 138 *ἐπέγνω*] *ἐπι* V^7 | 139 *καὶ — συνῆκεν* fehlt in V^7 | *τούτου*] *αὐτοῦ* V^1 | *καὶ* vor *συνῆκεν* zugefügt in V^2 | 140 *τούτων*] fehlt in V^1 *τῶν* V^7 | 142 *ἐξ ἧς*] *τὲ ὡς* V^7 | *ἔχειν* V^7 |

μιάματα ὠνούμενος παραγίνεται ἐν τῷ σεβασμίῳ τούτῳ οἴκῳ καὶ προσ-
440 φέρει τῷ ἁγίῳ θυσιαστηρίῳ, ἐν νηστείᾳ μετὰ πίστεως καὶ σω|φροσύνης καὶ πολλῆς εὐχαριστίας τῆς πρὸς τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τοὺς θεράποντας αὐτοῦ ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν διατελῶν. ἵνα δὲ σαφέστερον αὐτοὶ οἱ ἅγιοι τὰ τῆς αὐτῶν εὐεργεσίας τούτῳ παραστήσωσιν, οἱ ἀεὶ εὐεργέται καὶ ἰατροὶ μετ' ὀλίγας ἡμέρας τοῦ τὸ πέρας δέξασθαι τὰ τῆς αὐτῶν παροχῆς μαλακισθέντος τούτου φαίνονται αὐτῷ ἐν νυκτὶ κατὰ τὸ εἰωθὸς αὐτοῖς. καὶ πρῶτον μὲν ὡς ἀγαθοὶ μετὰ θεὸν εὐεργέται τὴν οὖσαν ἐν αὐτῷ ἀηδίαν τῇ ἐπιστασίᾳ αὐτῶν ἐκούφισαν καὶ ὑγιῆ αὐτὸν ἐποίησαν, ἔπειτα δὲ ἐξερχόμενοι ὑπομειδιῶντες λέγουσιν αὐτῷ· 'ὄντως σὺ ἑταῖρε βλέπε, πῶς παραμένεις ἐν τῷ οἴκῳ τούτῳ, μή τι τῶν δυσχερῶν ἀνακύψῃ καὶ εἴπωσιν· "τάδε πάθωσιν οἱ προξενήσαντές σε;"' εἶδες, φιλόχριστε, σοφίας τῶν ἁγίων ῥήματα, εἶδες φανερῶσαι μετὰ χαρίεντος λόγου τὰ τῆς αὐτῶν παροχῆς, εἶδες πῶς ἠσφαλίσαντο αὐτὸν διὰ τῆς παραγγελίας πρὸς τὸ ἄξιον γενέσθαι τῆς αὐτῶν παραθέσεως; πλέον γοῦν ἐπιγνοὺς ὁ τῆς χάριτος αὐτῶν καὶ τῆς συνδιαγωγῆς ἀξιωθεὶς τὸ ἐπ' αὐτῷ γενόμενον
442 ἐξαίσιον θαῦμα συνήθως ἐδόξασεν καὶ δοξάζει τὸν θεὸν | τὸν τοσαύτην σοφίαν καὶ χάριν δεδωκότα τοῖς ἐνδόξοις αὐτοῦ ἁγίοις Κοσμᾷ καὶ Δαμιανῷ.

περί τινος γυναικὸς ὑδεριώσης Wunder 19

θεόκτιστος λιμὴν τῶν ὑπὸ ἀσθενείας καὶ ὀδύνης χειμαζομένων οἱ ἔνδοξοι ἅγιοι Κοσμᾶς καὶ Δαμιανὸς ὑπάρχοντες γαληνῷ τῷ ὄμματι τούτους προσδέχονται καὶ τῷ ἰδίῳ λιμένι τῆς σωτηρίας αὐτῶν προσορ-

---

Wunder 19a

γυνή τις ὑδέρου πάθει κατεχομένη τὴν θαυμαστὴν τήνδε τῶν ἁγίων κατειλήφει σκηνήν. διώγκωτο δ' ἡ γαστὴρ ἐκείνῃ ἐπὶ τοσοῦτον, ὡς μὴ μόνον μὴ δυνατῶς ἔχειν βαδίζειν, ἀλλὰ μήδ' ἐπὶ κλίνης κει-

---

144 σεβασμίῳ] σεπτῷ V^7 | τούτων V^7 | 145 ἐν νηστ.] fehlt in V^2 ἐν παρρησίᾳ V^7 | 146 μετὰ vor πολλῆς zugefügt in V^7 | 147 αὐτοῦ fehlt in V^7 | 148 αὐτοὶ] αὐτὸν V^7 | 149 οἱ — ἰατροὶ fehlt in V^7 | ἀεὶ — καὶ] μεγάλοι οὗτοι V^1 | τοῦ τ. πέρας fehlt in V^2 | 150 τὸ fehlt in V^7 | 151 von εἰωθὸς an tritt V^8 hinzu | 152 ἐν αὐτῷ] ἑαυτῷ V^{28} | 155 δυσχερόντων V^7 | 156 σε] αὐτῷ V^7 | σοφίαν V^7 | 157 τ. ἁγίων] ἀφάτου V^{28} | φανέρωσιν V^8 φανεροῦσαν V^7 | χαριεντοὺς V^2 χαριεντοῦ V^8 χάριτος V^7 | 158 παροχῆς] παρουσίας V^{28} | 159 πλεῖον V^{28} | γοῦν] οὖν V^{28} | ὁ] τὸ V^7 | 160 τῆς fehlt in V^7 | 161 ἐδόξαζεν V^7 | θεὸν] $\overline{\chi\nu}$ V^1 | 163 ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν nach Δαμ. zugefügt in V^8 ἀμήν in V^2 καὶ γὰρ αἱ τούτων θεραπεῖαι βλύζουσαι ὡς ἡμέραι· καὶ πάντας εἰς εὐχαριστείαν $\overline{\vartheta\upsilon}$ καὶ εὐφημίαν αυτοῦ προτρέπωνται in V^7 || Wunder 19 Hs: (V^1) 10 über die Lücke nach προ s. o. S. 5f. | Wunder 19a Hs: M^2 1 ὑδέρω | 15 ἵστατα | 21 ἐκκενωθὲν ||

μᾶσιν. συμπαθείας γὰρ καὶ εὐσπλαγχνίας πλήρεις ὄντες καὶ Χριστοῦ τοῦ θεοῦ ἡμῶν τοῦ μόνου ἀγαθοῦ τὰ θαύματα καὶ χαρίσματα τρυγήσαντες πρὸς ἅπαντας ἀγαθύνονται καὶ τοῖς κάμνουσιν ἐξ ἀσθενείας ῥαδίως τὴν αὐτῶν βοήθειαν παρέχουσιν, ἐντεῦθέν τε τοῦ μισθοῦ αὐτῶν μεγίστους στεφάνους κομίζονται. ὅπερ δὴ πράττει καὶ ἡ ἀρτίως ὑπ' αὐτῶν θεραπευθεῖσα γυνή. τὸ γὰρ γενόμενον καὶ ἐπ' αὐτῇ δι' αὐτῶν παράδοξον θαῦμα οὐ κρύπτει ὑπὸ τὸν μόδιον, ἀλλὰ τοῦτο προ † τὸ πάθος ἔφυγεν καὶ ἐλευθέραν αὐτὴν τῆς θανατικῆς νόσου ἔδειξεν. ὅθεν ὡς σοφοὶ κυβερνῆται οἱ ἅγιοι ταύτην ὑγιῆ, ὡς προλέλεκται, διὰ τοῦ πεμφθέντος ἀοράτως ὑπ' αὐτῶν ἀνδρὸς ἐποίησαν καὶ εὐχαριστεῖν τῷ θεῷ καὶ μεμνῆσθαι ἀδιαλείπτως τῆς αὐτῶν εὐεργεσίας παρεσκεύασαν. τίς οὖν φθάσει ἐνθυμηθῆναι, οὐ λέγω φράσαι, τὰ τούτων τῶν θεραπόντων τοῦ Χριστοῦ ἁγίων καὶ μεγάλων ἰατρῶν κατορθώματα, ἢ τίς δυνηθῇ ἐξειπεῖν τὸ συμπαθὲς αὐτῶν ἢ τὸ προσηνὲς πρὸς τοὺς θλιβομένους, τὸ ἀνεξίκακον καὶ ἀμνησίκακον ἐπὶ τοῖς ἐξ ὀλιγωρίας καταβοῶσιν αὐτῶν, τὸ ἄοκνον πρὸς περιοδίαν, τὸ χαρίεν, τὸ ξένον τῶν ἐπιταγῶν, τὸ πλούσιον τῆς ἐλεημοσύνης, τὸ θαυμαστὸν καὶ σύντομον τῆς θεραπείας, τὸ προνοητικὸν τῶν δεομένων; ἐὰν γάρ τις ἀναλογήσηται τὰ ξένα καὶ φοβερὰ καὶ παράδοξα τῶν θαυμάτων αὐτῶν, εἰς

μένη διαναστῆναι τὸ σύνολον, εἰ μή που πρὸς ἄλλων βοηθουμένη ταῖς ἀνάγκαις αὐταῖς ἐχρῆτο τῆς φύσεως. οὕτω τοίνυν κακῶς ἐχούσῃ καὶ πρὸ τῆς ζωῆς τιθείσῃ τὸν θάνατον ἐφίσταταί τις ἐκ προνοίας θειοτέρας ἐξ ἀλλοδαπῆς χώρας ἀνήρ, οὐδέν τι ἔχων τὸ συνεληλακὸς ἕτερον, ὅτι μὴ μόνον τὸ τὴν προσκύνησιν ἐν τῷ ἱερῷ τοῖς ἁγίοις ἀφοσιώσασθαι. ὃς δὴ καὶ τὴν γυναῖκα τὸ ἐγγάστριον ἐκεῖνο φορτίον οὐ δυναμένην φέρειν ἰδὼν οἰκτείρει τε τοῦ πάθους τὴν δυστυχῆ καὶ ἀνερευνᾶν ἄρχεται, τῶν προσηκόντων ἠκριβωμένως τὰ κατ' ἐκείνην διεξιόντων. καὶ τόν γε χρόνον καὶ τὴν αἰτίαν καὶ τἆλλα ὑφ' ὧν ᾤοντο ἐπισυμβῆναι τῇ γυναικὶ τὸ πάθος μαθὼν 'ἐπ' ὀνόματι', φησί, 'τῶν ἁγίων, οἵ με καὶ οὐκ εἰδότα τὰ περὶ ταύτης ἐνταῦθ' ἤγαγον, ἵστατε παρ' ἐμοὶ τὰ τοῦ πάθους καὶ ὑμῶν βουλομένων'. οἱ δ' ἄσμενοι καὶ μεθ' ὅσης ἂν εἴποις τῆς ἡδονῆς τὸν λόγον δεξάμενοι 'ποίει δῆτα', ἔφασαν, 'εἰ τοῖς ἁγίοις ἦσθα θαρρῶν, ὃ ἂν εἰδείης λυσιτελὲς ἔσεσθαι'. κἀκεῖνος ξυρίον ἀνὰ χεῖρας λαβὼν ἄρχεται μικραῖς τισιν ἀμυχαῖς ἐκ διαστημάτων καὶ οὐ κατὰ συνέχειαν τὴν γαστέρα μέχρι καὶ τῶν ὑπὸ τὴν κύστιν ἠρέμα πως διατέμνειν. καὶ δὴ ἐκ τῶν τρώσεων ἐκείνων ὑδαρῶδές τι πῦον ἐκκενωθέν, ὡς ἐς εἴκοσίν που καὶ ἓξ ξέστας πεποσῶσθαι τὸ ὅλον, συμπεσεῖν μὲν τὸν ὄγκον

19, 10 Matth. 5,15; Marc. 4,21; Luc. 11,33

ἔκπληξιν καὶ ἔκστασιν φθάνει, εἰ μὴ τάχος ὁ τούτου λογισμὸς ἀναδράμῃ εἰς τὴν δοθεῖσαν αὐτοῖς ἐκ θεοῦ ἄμετρον τῶν χαρισμάτων παροχήν. ταῦτα πάντα, φιλόχριστοι, κινήσει ἡμῶν μᾶλλον δὲ τρανώσει τὰς γλώττας καὶ διεγείρει τὴν διάνοιαν πρὸς εὐχαριστίαν καὶ ἔπαινον τοῦ χαρισαμένου πᾶσιν ἡμῖν τὴν ἀνελλειπῆ τῶν ἰαμάτων ταύτην τῶν ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ σκηνήν, ἤτοι πηγήν. αὐτῷ γὰρ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ποιεῖ τῇ γαστρί, ῥώννυσι δ' αὐτίκα καὶ πάντα μέλη τῇ γυναικὶ καὶ πάθους ἀνωτέραν παντὸς ἀπεργάζεται. καὶ οὕτω δὴ χαίρουσα οἴκαδε ἐπανήει, τὴν θεραπείαν τοῖς ἁγίοις εἰδυῖα καὶ οὐ τῷ ἀγνῶτι ἐκείνῳ καὶ ξένῳ ἀνδρί. οὔτε γὰρ ἐκεῖνος ἀφ' ἑαυτοῦ τοῦτ' ἂν ἐτόλμησέ ποτε διαπράξασθαι, οὔτε μὴν ἡ γυνὴ ἑαυτὴν εἶχε καταπιστεῦσαι, ᾧ γε εἰς γνῶσιν ἐλθοῦσα οὐκ ἦν πρότερον· ἀμφοτέρους δὲ προδήλως, τὸν μὲν δρᾶσαι, τὴν δὲ παθεῖν, οἱ ἅγιοι προετρέψαντο.

442 νῦν δὲ ⟨ἅπερ⟩ εἴρηταί μοι μανθανέτω ἡ ὑμετέρα φιλόχριστος Wunder 20 (19)
ἀγάπη, καὶ ἀκουέτω ἑτέρου τῶν ἁγίων θαύματος πρὸ βραχέος γενομένου. τινὸς γὰρ πιστοῦ ἀνδρὸς υἱὸς ὑπάρχων, ὃς περιπεπτώκει ἀπευκτέῳ πάθει, αἱμάτων γὰρ φορὰν ἀτάκτως διὰ τοῦ στόματος ἔφερεν, ὥς τινος τῶν ἔσωθεν μᾶλλον ἀγγείων βλάβην οὐ μετρίαν ὑπομείναντος, ὥστε συνέχεσθαι αὐτὸν ὑπὸ τοῦ πάθους, καὶ τοσοῦτον, ὥστε καὶ τοὺς ἰατροὺς πάντας ἡττηθῆναι ὑπὸ τοῦ νοσήματος καὶ διὰ τοῦτο ἀπογνῶναι τοῦ ἀσθενοῦντος. ἀλλ' ἵνα καὶ ἐν τούτῳ λαμπροὶ καὶ θεοφανέστεροι κατὰ θεὸν δειχθῶσιν οἱ θεράποντες τοῦ Χριστοῦ καὶ πολλὴν συμπάθειαν εἰς τοὺς ἀνθρώπους δεικνύμενοι οἱ ἅγιοι Κοσμᾶς καὶ Δαμιανός, ἤτοι πάντας ἐκ τούτων ἐφέλκοντες εἰς τὸ προσφεύγειν τῷ ἐνδόξῳ αὐτῶν οἴκῳ καὶ πλειόνως δι' αὐτῶν τὸν θεὸν δοξάζεσθαι, ὁ τοῦ πάσχοντος πατήρ, θαρρῶν τῇ βεβαίᾳ αὐτοῦ
444 πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐλπίδι καὶ τῇ τῶν ἁγίων | ἐξ αὐτοῦ δυναστείᾳ, τὸν ἴδιον υἱὸν ἐν τῷ πολυυμνήτῳ τούτῳ τῶν ἁγίων οἴκῳ ἄγει, καὶ παρακαλέσας αὐτοὺς ἐκτενῶς ⟨διὰ⟩ τῆς πίστεως αὐτοῦ πολλά τε δάκρυα ἐκχέας καὶ δεηθεὶς τὴν συνήθη αὐτῶν ἐπιδείξασθαι καὶ εἰς τὸν ἐξ αὐτοῦ ἀπεγνωσμένον θαυματουργίαν ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ, καταλείψας τῷ ἀσθενοῦντι πρὸς παραμυθίαν, οὐδὲ γὰρ περιοδίαν, ἕνα τῶν γνωρίμων ἰατρῶν. τοῦ δὲ πάθους ποτὲ μὲν δραπετεύοντος, ποτὲ δὲ νεανιευομένου κατὰ τοῦ πάσχοντος, ὁ νέος πάνυ ὀλιγωρήσας ἐκ τῆς ἀναγωγῆς τῶν πλειόνων αἱμάτων, καλέσας

Wunder 20 Hs: V[7] 1 vgl. Wunder 5,22 | εἰρ. μοι fehlt bei W | 3 ὃς] ὥς V[7] fehlt bei W | 5 ἤφερεν V[7] verb. W | μᾶλλον nach ἀγγείων V[7] | 8 ἀσθενοῦντο V[7] verb. W | 14 ελπίδα

τὸν ἰατρὸν λέγει αὐτῷ· 'ἄκουσόν μου, ἀδελφέ, καὶ δός μοι τροχίσκου
ἀντίδοτον. ἢ γὰρ τοῦτο ἐνίκησέν μου τὸ πάθος καὶ τὸ ζῆν μοι ἐχα-
ρίσατο, ἢ τὴν ἥττονα ἀπενεγκάμενον ὑπ' αὐτοῦ ψῆφον τοῦ ζῆν με
καὶ μαραίνεσθαι ἀπήλλαξεν.' ταῦτα ἀκούσας ὁ ἰατρὸς λογισμοῖς
πολλοῖς ὑπέβαλεν ἑαυτόν, πότερον ἀκούειν τῆς ἐπιταγῆς τοῦ ἀσθε-
νοῦντος ἢ ἡσυχάσαι, καὶ ἁπλῶς πρὸς τὴν ἄδηλον τοῦ πράγματος ἔκ-
βασιν ἀφορῶν ἐν πολλῇ μερίμνῃ καὶ ἀθυμίᾳ διετέλει. ἐπιλαβομένης
τοίνυν νυκτὸς οἱ πάνσοφοι οὗτοι ἅγιοι καὶ ὄντως ἐκ θεοῦ ἰατροί,
φανέντες τῷ δῆ|θεν ἰατρῷ τῷ συνόντι τῷ ἀσθενοῦντι, λύουσιν 446
τῆς εἰς αὐτὸν μερίμνης τὸ φιλόνεικον εἰπόντες αὐτῷ· 'μηδὲν προσα-
γάγῃς βοηθήματος χάριν τῷ ἀσθενοῦντι· ἡμεῖς γὰρ αὐτὸν ἔσωθεν
περιοδεύσομεν.' πρωίας δὲ γεναμένης ἀναστὰς ὁ ἰατρὸς ἐθαύμασεν
μὲν τῶν ἁγίων τὴν χάριν καὶ τὴν τῶν καταφευγόντων εἰς αὐτοὺς
ἀσφάλειάν τε καὶ θεραπείαν, ἐφύλαξεν δὲ τὸ λεχθὲν αὐτῷ ὑπ' αὐτῶν.
εἶτα τοῦ ἀσθενοῦντος μετὰ μίαν ἡμέραν ἐπείγοντος αὐτὸν ἐπὶ τὸ
δοῦναι αὐτῷ τὸ ἀπὸ τοῦ τροχίσκου ἀντίδοτον ἀπειθὴς ἔμενεν πρὸς
τὴν τοιαύτην ἐπιταγήν, φήσαντος αὐτῷ ἀδυνάτως ἔχειν τοῦτο πρᾶξαι.
ὡς δὲ εἶδεν τὸν ἀσθενοῦντα τοῖς αὐτοῖς ἐπιμένοντα, λοιπὸν ὑπὸ τῆς
ἀνάγκης ὠθούμενος ἐξαγγέλλει τὸ παρὰ τῶν ἐνδόξων ἁγίων Κοσμᾶ
καὶ Δαμιανοῦ δι' ὁράματος προσταχθὲν αὐτῷ παράδοξον χάρισμα,
προσθεὶς μὴ ὀφείλειν αὐτὸν τοῦ λοιποῦ τῆς ἐκ [τῆς τῶν] τῶν ἀνθρώ-
πων προσαγομένης αὐτῷ ἀνασχέσθαι περιοδίας, ἀλλ' εὐθύμως τὴν
τῶν ἁγίων ἀγαθὴν ⟨δέξασθαι⟩ ἐπαγγελίαν. τούτων οὕτως ὑπ' αὐ-
τοῦ λεχθέντων ἐπέμεινεν ἡ τῶν αἱμάτων ῥύσις μέσην ἔχουσα ἐφ'
ἑαυτῇ τὴν τάξιν. ὀλίγων δὲ ἡμερῶν διαδραμουσῶν ἀθρόον ὥσπερ
|θῆρες ἄγριοι ἐπιστάντες τῷ κάμνοντι πόνοι τὴν μὲν τῶν αἱμάτων 448
ἔκχυσιν διὰ τοῦ στόματος ὑπερβαλλόντως ἐδείκνυσαν, ἐκεῖνον δὲ
ἄφωνον καὶ ἄπνουν κατέστησαν. ἀλλ' οἱ θεράποντες τοῦ ἀληθινοῦ
θεοῦ πρὸς τὴν οἰκείαν ἐπαγγελίαν ἀληθεύοντες καὶ τὰ τῆς οἰκείας
ὑποσχέσεως πληροῦντες καὶ τοῦ πατρὸς τοῦ ἀσθενοῦντος τὰ δάκρυα
καὶ τὴν δέησιν μὴ παριδόντες φθάνουσιν τὸν ἀσθενοῦντα νεκρόν, καὶ
ὁ εἷς ἐξ αὐτῶν τῇ παλάμῃ τῆς χειρὸς βύσας τὸ στόμα τοῦ πάσχοντος
παραχρῆμα τὴν τῶν αἱμάτων πορείαν ἐχαλίνωσεν καὶ τοὺς τόπους δι'
ὧν ἀνεπέμπετο ἐγάνωσεν. καὶ ὥσπερ ποτὲ ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ,
ὅτε τὴν κατὰ τῶν ἀλλοφύλων πάλην καὶ τὸν ἀγῶνα εἶχεν, τὴν ἐνέρ-
γειαν τοῦ θεοῦ τὴν δι' εὐχῆς ἐπεσπάσατο καὶ τῷ ἡλίῳ προσέταξεν

V^{7} verb. W | 26 ἄκουσε V^{7} verb. W | 32 προάγάγης V^{7} verb. W | 37 τὸ] τῷ V^{7} | 38 τὸ] τὸν V^{7} | 39 φήσας W | 40 δὲ] γὰρ V^{7} | οἶδεν V^{7} verb. W | 43 τῆς τῶν fehlt bei W | 45 ⟨ὑπομένειν⟩ nach ἐπαγγελίαν W | 49 ἐδείκνυαν V^{7} ἔδειξαν W |

προσθεῖναι τῷ ἀποτεταγμένῳ αὐτῷ μέτρῳ εἰπών· ‘στήτω ὁ ἥλιος κατὰ Γαβαὼ καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλώμ’, οὕτως καὶ οὗτοι οἱ σοφοὶ ἰατροὶ καὶ ἄριστοι Κοσμᾶς καὶ Δαμιανός, θαρροῦντες τοῖς δεδομένοις αὐτοῖς ἄνωθεν ἀνεξαλείπτοις χαρίσμασιν, τῇ φύσει ἤγουν οὐσίᾳ τῶν αἱμάτων προσέταξαν διὰ τῆς προσευχῆς στῆναι ἐν τοῖς
450 ἰδίοις ὅροις, καὶ τὸν κάμνοντα ἐθεράπευ|σαν. μετὰ γὰρ τὴν τῆς παλάμης τοῦ ἑνὸς τῶν ἁγίων ⟨ἐμβολὴν⟩ τὴν ἐν τῷ στόματι τοῦ ἀσθενοῦντος γεναμένην οὐκέτι τὸ σύνολον ἐξ αὐτοῦ αἷμα ἀνήχθη. ποιήσας δὲ μετὰ τὸ ὑγιᾶναι αὐτὸν ἱκανὰς ἡμέρας ἐν τῷ οἴκῳ τῶν ἁγίων καὶ ῥωσθεὶς τελείως τὸ σῶμα καὶ τὴν ψυχὴν ἐκ τῆς γενομένης εἰς αὐτὸν παραδόξου θαυματουργίας ἐν εἰρήνῃ ἀπῆλθεν, τῶν ἁγίων καὶ θεραπόντων τοῦ Χριστοῦ Κοσμᾶ καὶ Δαμιανοῦ δεδωκότων αὐτὸν τῷ πατρὶ αὐτοῦ καὶ εἰρηκότων· ‘ἡ πίστις σου ἡ πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν σέσωκέν σε· πορεύου μετὰ τοῦ υἱοῦ σου ἐν ὑγείᾳ.’ ὁρᾷς καὶ ποῖα καὶ πόσα καθ’ ἑκάστην ὑπάρχει τὰ ἐκ τῶν δοθέντων τοῖς ἁγίοις ὑπὸ θεοῦ θαύματα. ὁ τοίνυν τοῦ θεραπευθέντος πατὴρ τὴν εὐχαριστίαν αὐτοῦ ἀποδοὺς τῷ κυρίῳ καὶ τοῖς ἁγίοις καὶ εὑρηκὼς τοὺς καρποὺς τῶν δακρύων αὐτοῦ ἀναθάλλοντας χαίρων ἀπῆλθεν μετὰ τοῦ υἱοῦ αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ, δοξάζων πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

452 **Θαύματα ἕτερα τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ** Wunderserie III

Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ καὶ τοῖς ἁγίοις αὐτοῦ θεράπουσι Vorrede
Κοσμᾷ καὶ Δαμιανῷ πάντες ἄνθρωποι, μάλιστα οἱ ἐν ἀσθενείαις προσφυγόντες καὶ τῆς ἰάσεως τυχόντες· μεγάλα γὰρ ἀληθῶς, μεγάλα

20, 59 Jos 10,12 71 Luc. 7,50; 8,48

---

62 ἤτουν V^7 τὴν W | 63 οὐσίαϋ V^7 | 65 vgl. Wunder 13, 42, eine Lücke nahm W nach γεναμένην (66) an | 73 υγία V^7 ὑγιείᾳ W | 78 αἰώνων ἀμήν W ein abkürzender Schnörkel um Raum zu sparen in V^7

Titel der Wunderserie (vgl. d. Hss der Vorrede) durch den Titel des Wunders 21 vertreten in C^2 (umgekehrt steht der allgemeine Serientitel am Kopfe des Wunders 25 in C^1, s. u.) ὁμιλία· εἰς τὰ ἐπίλοιπα θαύματα· τῶν ἁγίων ἐνδόξων· καὶ θαυματουργῶν ἀναργύρων· κοσμᾶ καὶ δαμιανοῦ b | ἕτερα] fehlt in HV^8m^1 vor θαύματα P^7 | ἀναργύρων] fehlt in P^7 καὶ ἐνδόξων καὶ θεραπόντων τοῦ Χριστοῦ H καὶ ἐνδόξων τοῦ Χριστοῦ ἀναργύρων v | Κ. κ. Δ. fehlt in P^5 || Vorrede III Hss: $HV^8vP^{57}m^1C^2b$ 1 θεράπουσι fehlt in H | 2 καὶ vor μάλιστα zugefügt in P^7 δὲ nach μάλιστα in P^5vb | αὐτοῖς nach ἀσθενείαις zugefügt in HC^2P^7 | 3 προσφεύγοντες C^2P^7b | καὶ — τυχόντες fehlt in H | τ. ἰάσ.] ἰάσεων C^2 | τυγχάνοντες C^2P^7 | μεγάλα vor τὰ fehlt in $V^8m^1C^2$ | μεγ. τὰ] καὶ μέγιστα P^7 |

τὰ παρὰ τῶν ἁγίων καθ' ἑκάστην εἰς ἡμᾶς γινόμενα θαύματα καὶ πάντα νοῦν ὑπερβαίνοντα, ἐπεὶ ἄνωθεν ἔχει τὰς ἐνεργείας. διὸ καὶ πᾶς ἄνθρωπος πρὸς τὸ πλῆθος καὶ τὴν ὑπεροχὴν τῶν θαυμάτων ἀφορῶν παραιτεῖται τὴν συγγραφήν· ἡττᾶται γὰρ πᾶσα δύναμις λόγων καὶ ἰλιγγιᾷ πρὸς τὸ ὕψος τούτων ὁρῶσα, καθάπερ ὀφθαλμὸς ἀσθενὴς πρὸς τὴν ἀκτῖνα τοῦ ἡλίου μὴ θαρρῶν. ποῖα γὰρ αὐτῶν ἐξειπεῖν τις δυνήσεται θαύματα; τὰ νῦν, τὰ πάλαι, τὰ καθ' ἑκάστην, τὰ εἰς πολλούς, τὰ εἰς τὸν καθ' ἕνα, τὰ ἐνταῦθα, τὰ ἀλλαχόσε; πέλαγος μετρεῖν ἢ ἀστέρας ἀριθμεῖν νομισθείη ἂν ὁ πᾶσιν ἐγχειρῶν. ἐπεὶ οὖν ἀδύνατον πᾶσιν ἐπεξιέναι τοῖς θαύμασιν, τοῖς κατὰ δύναμιν ἐπιβαλεῖν πειρασόμεθα· τὸ γὰρ κατὰ δύναμιν καὶ γνήσιον καὶ | 454 συγγνώμης ἄξιον. καὶ ταῦτα δὲ οὐκ ἀφ' ἑαυτῶν γράφειν προεθυμήθημεν, ἀλλὰ τῶν σῶν μεμνημένοι παρακλήσεων, Φλωρέντιε συνετώτατε, ὧν ἐποιήσω πρὸς ἡμᾶς, ἔτι τῇ νόσῳ πιεζομένων ἡμῶν καὶ τὸν ἔνδοξον τῶν ἁγίων οἶκον καταλαβεῖν σπουδαζόντων. προετρέψατε γὰρ ἐπανερχομένους ἡμᾶς ἐν χαρᾷ γράψαι τὰ τῶν ἁγίων θαύματα καὶ ἀποστεῖλαι ὑμῖν. τὰς ὑμετέρας οὖν ἐπὶ τοῦ παρόντος πληροῦντες αἰτήσεις γράφομεν κατὰ δύναμιν ἅπερ ἑωράκαμεν καὶ ἀκηκόαμεν διάγοντες ἐν τῷ οἴκῳ αὐτῶν τῷ ἐνδόξῳ, διδόντες ὑμῖν ἀφορμὴν ἐκ τῶν ὀλίγων τὰ πάντα ὡς εἰπεῖν ἀναλογίζεσθαι θαύματα· δύνασθε γὰρ ὡς ἀπὸ κρασπέδου τὸ ὅλον κατανοῆσαι ὕφασμα. τοῦ γὰρ λαοῦ συντρέχοντος ἐν τῇ κατ' ἔθος γινομένῃ ἐκεῖσε παννυχίδι σαββάτου ἐπιφωσκοῦντος οἱ τῆς παρ' αὐτῶν τυχόντες ἰάσεως ὅπως ἔτυχον ἔλεγον, καὶ ἦν ὡς

---

4 τῶνδε vor καθ' zugefügt in P^7 | εἰς ἡμ. vor καθ' C^2 | γενόμενα V^3 | θαυματουργήματα C^2 | καὶ — ὑπερβαίνοντα (5) fehlt in C^2 | 5 ὑπερ nach πάντα zugefügt in b | ἐπειδὴ P^5 v | ἔχουσι P^5 v C^2 ἔχοντες b | ἐνεργείας] εὐεργεσίας C^2 | καὶ fehlt in C^2 | 6 τ. θαυμ. fehlt in C^2 | 7 ἀφορῶντες m^1 | 8 ἀφορῶσα H | 9 καὶ vor πρὸς zugefügt in H | θαρρῶν] καθορῶν V^3 m^1 θαρρῶν προσβλέψαι P^5 v | ἐξ nach γὰρ zugefügt in b | εἰπείν b ἐξηγεῖν C^2 | 10 δυνηση b | τὰ vor θαύματα zugefügt in m^1 b | τὰ vor νῦν fehlt in m^1 | τὰ πάλαι] ἢ C^2 | 11 τοὺς vor πολλοὺς zugefügt in C^2 | τὸν fehlt in P^7 | τὰ ἐντ. — ἐγχειρῶν (12) fehlt in C^2 | mit τὰ ἀλλ. beginnt eine andere Hand in m^1 | ἀλλαχόθεν P^5 v ἀλλαχοῦ b | ἄρα vor πέλαγος zugefügt in P^7 b γὰρ nach πέλαγος in P^5 v C^2 | 12 τις nach ἂν zugefügt in P^7 b | πᾶσιν] τούτοις P^5 v | ἐπιχειρῶν P^5 v | 13 ἐξιέναι v C^2 | τ. θαύμ. fehlt in P^5 v | 14 ἐπιβάλλειν P^5 v ἐπιβαλλεῖν C^2 | πειράσομαι v | κ. γνήσ. fehlt in P^7 b | 15 δὲ] fehlt in P^7 μὲν C^2 | οὐ καθ' ἑαυτῶν V^3 m^1 | προεθυμήθημεν fehlt in C^2 | 16 μεμνημένος H | φρορέντιε V^3 m^1 | 18 σπουδάζοντα C^2 | προέτρεψας v | 21 γράφωμεν V^3 m^1 C^2 | κ. ἀκηκ. fehlt in C^2 | 22 τ. ἐνδ. fehlt in P^5 v | ἀφορμὴν fehlt in C^2 | 23 δύν. γὰρ fehlt in b | ὡς vor ἀπὸ fehlt in V^3 m^1 | 24 τὸ ὅλ. fehlt in P^7 | λαοῦ fehlt in b | 25 ἐν — ἐπιφωσκοῦντος] καθ' ἑκάστην ἐν τῷ πανσέπτῳ αὐτῶν οἴκῳ P^5 v | ἔτος C^2 P^7 | ἐπιφώσκοντος P^7 b | 26 οἱ — τυχόντες fehlt in H | ὅπως] ὡς C^2 | ἔλεγον fehlt

ἀληθῶς ἡδονή τις καὶ θυμηδία ἐν τοῖς τοιούτοις διηγήμασιν, ἑκάστου μᾶλλον βλέπειν ἢ ἀκούειν τὰ λεγόμενα δοκοῦντος.

περὶ τοῦ στομαχικοῦ

Wunder 21 (20)

456 ἐν πρώτοις οὖν ἀνήρ τις λαμπρός τε καὶ περιφανὴς τῷ θεῷ ἀνακείμενος καὶ τοῖς ἁγίοις προσφεύγων διηγήσατο, ὡς ἐκ παιδόθεν ἀσθένειά τις συνεῖχεν αὐτὸν περὶ τὸν στόμαχον καὶ τὴν καρδίαν, καὶ ἕως ὅτου μὲν τῇ τοῦ παιδὸς ὑπῆρχεν ἡλικίᾳ, οὐ βαρείας ᾐσθάνετο τῆς ὀδύνης, εἰς τελείαν δὲ ἀνατρέχων ἡλικίαν συναύξουσαν καὶ συνακμάζουσαν εὕρισκεν τὴν νόσον. ἀνὴρ δὲ γενόμενος πυκνοτέρας λοιπὸν καὶ δριμυτέρας τὰς ὀδύνας ὑπέμενεν, ὥστε κυλίεσθαι καὶ ῥίπτειν ἑαυτὸν καὶ ἀναβοᾶν μὴ φέροντα τὰς ἀλγηδόνας, ἀλλὰ νομίζεσθαι τὰ τῶν μαινομένων πάσχειν. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ἀδιάγνωστον ὑπῆρχε τὸ νόσημα καὶ αὐτὸ ἑαυτῷ ἐναντίον· τὸ γὰρ ἅπαξ ὠφελῆσαν δὶς προσαγόμενον ἔβλαπτεν, καὶ τὸ πάλαι βλάψαν αὖθις ἐλυσιτέλει. οἷον τροφῆς μετάληψις τῶν ὀδυνῶν ἠλευθέρου τὸν ἄνδρα, ἄλλοτε δὲ πλέον ηὔξανεν τὸ νόσημα. τὸ λουτρὸν νῦν ἐναντίον ὑπῆρχεν, ἄλλοτε δὲ τὰ μεγάλα ὠφέλει, καὶ οὐκ ἦν αὐτῷ παρατήρησις ἀνοχῆς. ὡς δὲ λοιπὸν ἡ νόσος κατεκράτει καὶ κατ' ὀλίγον τῷ θανάτῳ παρέπεμπεν,
458 τὴν ἑαυτοῦ διάνοιαν καλῶς ἐπιστήσας ὁ ἀνὴρ ἐπὶ τὸν τῶν | ἁγίων ἔδραμεν οἶκον· καὶ τὴν μὲν δίαιταν ἐν τῷ λεγομένῳ κατηχουμενίῳ εἶχεν, νύκτωρ δὲ πρὸς τῷ ἁγίῳ θυσιαστηρίῳ ἐκάθευδεν. ἐνδιατρίψας οὖν ἡμέρας ἱκανὰς καὶ τῆς θέας τῶν ἁγίων οὐ τυχὼν ἀναχωρεῖν

---

in H | ὡς fehlt in b | 28 ἢ ἀκ.] καὶ εἰσακούειν b || Wunder 21 Hss: HV^3vP^{57} $M^1$$m^1$$C^2$b Titel fehlt in $V^3$$m^1$$P^7$b π. τ. ἔχοντος τὸν στρόφον H π. τ. νεανίσκου M^1 π. τ. ἐν τῷ στομάχῳ καὶ τὰ περὶ καρδίαν ἔχοντος τὸ πάθος am Kopf der Vorrede C^2 | 1 τε fehlt in H$V^3$$m^1$ | περιφανὴς] περιβόητος C^2 περιβ. καὶ M^1 | 2 προσφυτῶν $V^3$$m^1$ | 3 ἀσθενείᾳ τινὶ συνεχόμενος $M^1$$C^2$ | συνέσχεν HP^7 συνεῖχετο b | αὐτὸν fehlt in $M^1$$C^2$ | τε nach περὶ zugefügt in $M^1$$C^2$$P^7$b | καρδίαν] διάνοιαν $V^3$$m^1$ | 4 ἕως] ὡς P^5v | ὅτε C^2 | βαρεῖα $V^3$$m^1$ βαρίως C^2 | ἤσθετο P^7b | 6 ηὕρισκε(ν) $V^3$$C^2$b εὕρηκε M^1 | 7 λοιπὸν] τε $M^1$$C^2$ | καὶ κυλ. nach ἑαυτὸν (8) P^7 | 8 ἐπὶ τὴν γῆν nach ἑαυτὸν zugefügt in P^5v | φέρειν P^7 | ἀλγηδόνας] ὀδύνας M^1 C^2 | ἀλλὰ] καὶ M^1 | 9 ἄγνωστον C^2 | 10 αὐτῷ εν αὐτῷ b | ἑαυτῷ fehlt in $M^1$$C^2$ | 12 τ. ἄνδρα fehlt in C^2 | 13 ηὔξανε nach νόσημα C^2 | νῦν] fehlt in C^2 οὖν H νῦν μὲν P^7 | 14 δὲ vor τὰ fehlt in M^1 | τ. μεγάλα] τ. μέγιστα vP^{57} μεγάλα $M^1$$C^2$ μετάμεγα H πάλιν μεγάλως b | ἀποχῆς M^1 ἀπὸ ἀποχεῖς C^2 | ὡς δὲ] ὥστε P^5v | 15 κατεκράτει vor λοιπὸν P^5v | κατ' ὀλ. fehlt in P^5v | τ. θαν.] fehlt in C^2 πρὸς θάνατον M^1 | 16 ὅθεν ἀπορήσας ἐκ πάντων ὁ ἀνὴρ καὶ vor τὴν zugefügt in P^5v | ἑαυτοῦ fehlt in P^5v | ἐπισταθμήσας H | ὁ ἀνὴρ fehlt in P^5v | 17 σηκόν $V^3$$m^1$$M^1$$P^7$ οἰκόν C^2 | μὲν fehlt in P^7 | 18 διατρίψας b | 19 ἱκανὰς] τινὰς b | ἐν τῷ ναῷ nach ἱκανὰς zugefügt in P^5v |

ἐβουλεύετο, ἀνάξιον ἑαυτὸν τῆς ἐπισκέψεως τῶν ἁγίων λέγων γεγενῆσθαι. καὶ ζῶα ἀπαντῆσαι εἰπὼν εἰς τὸ λαβεῖν αὐτόν, συνέβη ταῦτα βραδέως ἐλθεῖν. ὡς δὲ ἡ ὥρα οὐκ ἐπέτρεπεν ἀναχωρεῖν, μείνας τὴν νύκτα ἐν τῷ ἁγίῳ οἴκῳ θεωρεῖ τινα λέγοντα αὐτῷ ὀφείλειν μεῖναι ἄχρι τῆς κυριακῆς· ἦν γὰρ ἡμέρα πέμπτη, ὅτε εἶδεν τὸ ὄναρ. μείνας τοίνυν καὶ κατὰ τὸ σύνηθες κοιμηθεὶς πρὸς τῷ ἁγίῳ θυσιαστηρίῳ θεωρεῖ ἕνα τῶν ἁγίων ἐξερχόμενον ἀπὸ τοῦ θυσιαστηρίου καὶ βλέψαντα μὲν εἰς αὐτόν, μηδὲν δὲ τὸ σύνολον εἰπόντα αὐτῷ, ἀλλ' ἀπὸ τοῦ λεγομένου σωλῆνος ἐπὶ τὸ κυκλίον τοῦ ἄμβωνος ἀπιόντα, εἶτα μετὰ μικρὸν ὑποστρέψαντα καὶ ἐν τῷ θυσιαστηρίῳ εἰσελθόντα. ὡς δὲ εἶδεν ὁ ἀνὴρ τὸν ἅγιον εἰσελθόντα ἐν τῷ θυσιαστηρίῳ, μηδὲν δὲ πρὸς αὐτὸν εἰρηκότα, ἀποτολμήσας συνεισῆλθεν αὐτῷ ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ καὶ παρεκάλει τῆς θεραπείας τυχεῖν. ὁ δὲ ἔνδοξος τοῦ Χριστοῦ θεράπων, κρατῶν ἐν τῇ χειρὶ αὐτοῦ ὡς μαξίον μοσχάτου, τεμὼν ἀπ' αὐτοῦ μικρὸν ἐβούλετο δι|δόναι τῷ ἀνδρί. εἶτα πάλιν 460 *προσθεὶς ἐκ δευτέρου καὶ ὑπολαβὼν μὴ ἀρκεῖν ἐκ τρίτου προσθεὶς δέδωκεν αὐτῷ μεῖζον εἰπών· 'λάβε τοῦτο καὶ ἐπίθες τῷ τόπῳ τῷ πάσχοντι, καὶ ἀπαλλάττῃ τοῦ πάθους.' ὃ δὲ λαβὼν καὶ ποιήσας τὸ προσταχθὲν παρευθὺς ἀπηλλάγη τῆς νόσου. μετὰ δὲ ταῦτα πάλιν θεωρήσας κατ' ὄναρ τὸν ἅγιον, ἀπήγγειλεν μὲν τὴν προσγενομένην αὐτῷ ὑγείαν, ἠξίου δὲ μηκέτι περιπεσεῖν τῇ νόσῳ. ὁ οὖν*

τῆς fehlt in P^7 | *θέας*] *ἰάσεως* C^2 | *οὐ* fehlt in $V^3 m^1$ | 20 *ἐβουλεύσατο* P^7 b *ἐβούλετο* $V^3 M^1 C^2$ *εἰβούλετο* m^1 | *οἴκαδε* vor *ἀνάξιον* zugefügt in $V^3 m^1$ | *τ. ἁγίων*] fehlt in $V^3 m^1$ vor *ἐπισκέψεως* P^7 | *λέγων* fehlt in b | *γεγενῆσθαι*] *εἶναι* C^2 | 21 *ἀπαντ. εἰπ.*] *ἀποστείλας* P^5 v | *ἑαυτὸν* b | *δὲ* nach *συνέβη* zugefügt in H $m^1 C^2 P^7$ b | 22 *ὡς — ὥρα*] fehlt in V^3 *καὶ* m^1 | *ὥρα*] *ἡμέρα* $M^1 C^2$ | *καὶ* vor *μείνας* zugefügt in $V^3 m^1$ nach *μείνας* in $M^1 P^7$ | 23 *τῇ* M^1 | *νυκτὶ* $M^1 C^2$ | *ἐκείνην* nach *νύκτα* zugefügt in P^7 | *ἁγίῳ* fehlt in C^2 | *ὀφείλει* $M^1 C^2$ *ὤφειλες* P^5 v *ὤφειλε* P^7 | 24 *ἑταῖρε* nach *μεῖναι* zugefügt in P^5 v *σαι ἐν ταύτῃ* in b | *μέχρι* P^7 | *ὄναρ*] *ὅραμα* b | 25 *καὶ* fehlt in H P^5 | 26 *ἀπὸ*] *ἐκ* M^1 | 27 *δὲ* fehlt in P^7 | 28 *τῆς λεγομένης* $M^1 C^2$ | 29 *μετὰ* fehlt in P^5 v | *ἐν*] *ἐπὶ* H | *ἁγίῳ* nach *τῷ* zugefügt in $V^3 m^1$ | 30 *ἐν τ. θυσ. εἰσελθ.* v *εἰσελθ. μὲν εἰς τὸ θυσιαστήριον* M^1 | *ἐν τ. θυσ.* fehlt in P^7 | 31 *μηδὲν — καὶ* (32) fehlt in $V^3 m^1$ | *δὲ*] fehlt in C^2 *καὶ* vor *μηδὲν* H | *πρὸς* fehlt in M^1 | 32 *ἁγίῳ* fehlt in P^7 b | *ἐπαρεκάλει* V^3 | *τῆς* fehlt in v P^{57} | 33 *Χριστοῦ*] *θεοῦ* $V^3 m^1$ | *ἐν* fehlt in v | 34 *καὶ* vor *τεμὼν* zugefügt in C^2 | *ἠβούλετο* $V^3 m^1$ | *δοῦναι* M^1 | 35 *ἐκ δευτ. — προσθεὶς* fehlt in b *ἐκ δευτ. — ἀρκεῖν* in C^2 | *τρίτου*] *τούτου* $M^1 C^2$ | 36 *λάβετε* b | 37 *ἀπαλάττει* b *ἀπαλλάγηθι* $M^1 C^2$ | *τοῦ — ἀπηλλάγη* (38) fehlt in M^1 | *τ. πάθ.*] *τῆς νόσου* C^2 | 38 *εὐθὺς* v | *καὶ γέγονεν ὑγιής* nach *νόσου* zugefügt in P^5 v | *πάλ. θεωρ.* fehlt in $M^1 C^2$ | 39 *τῷ ἁγίῳ* M^1 | *προσγεναμένην* M^1 *προσγινομένην* $C^2 P^7$ b | 40 *ὑγ. αὐ.* M^1 | *τοιαύτῃ* nach *τῇ* zugefügt in P^5 v *αὐτῇ* in P^7 | *ὁ — αὐτόν* (41)] *λέγει πρὸς αὐτὸν ὁ ἅγιος* P^7 | *οὖν*] *δὲ* P^5 v |

θεράπων τοῦ Χριστοῦ πρὸς αὐτόν· ʻτελείως ταύτης ἀπήλλαξαι, εἰ μὴ μεταλάβοις ὀσπρίων ποτέ.ʼ κρατήσας δὲ τὴν χεῖρα τοῦ ἁγίου ὁ ἀνὴρ ἤνεγκεν κατὰ τὸ μέρος, ἔνθα ἡ νόσος πάλαι συνεῖχεν αὐτόν, καὶ κατεσφράγισεν τῇ χειρὶ τοῦ ἁγίου τὸν τόπον τρίς, καὶ οὕτως ἀπέλυσεν τὸν θεράποντα τοῦ Χριστοῦ πιστεύσας τῷ λόγῳ τῆς χάριτος αὐτοῦ. ἔλεγεν δὲ καὶ τὴν σιαγόνα ἐκ χρόνων πάσχειν πολλῶν καὶ παρεκάλει ἰαθῆναι αὐτήν. ὁ δὲ ἅγιος πρὸς αὐτόν· ʻἐσκίρωσε τοῦτο· καὶ διὰ τί νῦν παρακαλεῖς; πλὴν ἐὰν θέλῃς, διακαίω τὸν τόπον.ʼ τοῦ δὲ εἰπόντος· ʻὡς κελεύειςʼ, λέγει αὐτῷ ὁ ἅγιος· ʻἄφες αὐτὸ οὕτως ἐπὶ τῆς οἰκείας ὡς ἔχει φύσεως.ʼ καὶ μὴ νομίσῃς τοῦτο
462 *εἰπεῖν τὸν ἅγιον ἀδυνάτως ἔχοντα θε|ραπεῦσαι τὸ πάθος, τὸ δὲ συμφέρειν μᾶλλον ἡγεῖσθαι τῷ ἀνδρί· καὶ μικρᾶς ὀδύνης ἐπαισθάνεσθαι καὶ ὥσπέρ τινα χαλινὸν ἔχειν τῆς ἐπὶ τὸ χεῖρον ἀγούσης ὁρμῆς. εὐχάριστος δὲ ὅμως καὶ μὴ τυχὼν τῆς δευτέρας αἰτήσεως ὁ τῆς πρώτης ἀπολαύσας γίνεται καὶ συχνῶς τῇ σκηνῇ τῶν ἁγίων παραβάλλει.*

Wunder 22 (21—22)

τοῦ ἀνδρὸς τοίνυν διηγησαμένου τὴν τῶν ἁγίων εἰς αὐτὸν γενομένην ἐπίσκεψιν ἀποκρίνεται ἕτερος προσφάτως τῆς νόσου ἀπαλλαγεὶς καὶ τοῖς ἁγίοις εὐχαριστῶν, ὡς χυμός τις ἐκ πονηρᾶς διαίτης ἀθροισθεὶς συνεῖχεν ἅπαν τὸ σῶμα αὐτοῦ ἄχρι καιροῦ. τέλος δὲ ἐνσκήψας ἐχώρησεν κατὰ ἀναγκαίων τοῦ σώματος τόπων καὶ τοῖς λεγομένοις διδύμοις ἐμπλακεὶς εἰς ἀντιτυπίαν λίθου τὸ πολὺ τούτων μετεποίησεν. καὶ μὴ στὰς μέχρι τούτου, ἀλλ' ἐπιρρέων, σάρκωσιν ὑπὸ τὴν λίθωσιν ἀπειργάσατο, συνυφήνας τὸν περιέχοντα τούτους ὑμένα τῇ ἔσωθεν

---

41 *εἶπεν* nach *αὐτὸν* zugefügt in $V^3 m^1$ *ἔλεγεν* in M^1 *ὄντως* in P^5 v | *ταύτην* P^7 | *ἀπηλλάγης* C^2 | *εἰ*] fehlt in P^5 v *ἐὰν* M^1 | 42 *μεταλάβῃς* b | *δὲ ἀπὸ τοῦ νῦν* nach *μεταλάβοις* zugefügt in P^5 v *φησίν* in M^1 b | *δὲ*] *τότε* vor *κρατήσας* P^5 v | *τ. ἁγίου*] *αὐτοῦ* M^1 | 43 *τὸ* fehlt in $V^3 m^1$ b | *αὐτῷ* C^2 b | 44 *τρίτον* P^5 v | 45 *τ. Χρ. θερ.* P^7 | *τοῖς λόγοις* M^1 | 47 *καὶ* vor *αὐτήν* zugefügt in v | *φησὶν* vor *πρὸς* zugefügt in $M^1 C^2$ | *ἐσκλήρωσε(ν)* v C^2 *ἐκύρωσε* b | *ἐσκίρ. τ.*] *εἶπε* P^7 | 48 *καὶ* fehlt in H | *καὶ οὐ πρότερον* nach *παρακαλεῖς* zugefügt in P^7 | *ἰαθῆναι* nach *θέλῃς* zugefügt in P^7 | 50 *νομίσῃς*] *νομ. ἀγαπητὲ* M^1 *νομίσητε ἀγαπητοί* P^5 v | 51 *εἰπόντα* $M^1 C^2$ | *ὡς* vor *ἀδυνάτως* zugefügt in P^5 v | *τ. πάθ.*] *τὸν ἄνδρα* $V^3 m^1$ | 52 *συμφέρον* M^1 | *μικρὰς ὀδύνας* C^2 | 53 *ὀργῆς* C^2 | 54 *εὐχαρίστως* v $P^{57} C^2$ b | *δὲ* fehlt in b | *ὁμοίως* P^7 | *καὶ* fehlt in H | *ὁ* fehlt in $M^1 C^2$ | 55 *ἀπολαύσεως* C^2 | *ἐγένετο* $M^1 C^2$ | *καὶ — παραβάλλει* fehlt in M^1 | *αἰνῶν καὶ δοξάζων τὸν κύριον καὶ τοῖς ἁγίοις αὐτοῦ θεράπουσι Κοσμᾷ καὶ Δαμιανῷ* nach *παραβάλλει* zugefügt in P^5 v || Wunder 22 Hss: H $V^3 m^1 P^7$ b 1 *τοῦ — ἐπίσκεψιν* (2) bildet die Überleitung zu Wunder 24 in C^2 | *τοίνυν* fehlt in C^2 | *εἰς*] *πρὸς* C^2 | *γενομένην*] fehlt in C^2 *γινομένην* P^7 b | 4 *παν* H | *μέχρι* P^7 | 5 *τῶν* nach *κατὰ* zugefügt in P^7 b | 7 *ὑπὸ τ. λίθ.* fehlt in P^7 b | 8 *ἀπηρ-*

προσγινομένῃ σαρκώσει. ἐπιρρέοντος δὲ τοῦ χυμοῦ, ἠναγκάζετο εἰς ὄγκον ἐπαίρεσθαι τὸ πάσχον χωρίον καὶ οὐδὲ βαδίζειν εὐκόλως συνεχώρει. τῇ χαλεπωτάτῃ | ταύτῃ νόσῳ συναντιλαμβάνεται δὲ καὶ τῶν 464 *ὀφθαλμῶν ἡ ἀσθένεια, ἥτις ἐλύπει τὸν ἄνδρα μάλιστα μηδὲ τὸ φῶς βλέπειν ὀδυνώμενον συγχωροῦσα. οἶσθα γάρ, οἶσθα, φίλτατε, ὅτι, κἂν ᾖ βαρύ τὸ θλῖβον τοὺς νοσοῦντας, βλέπουσι δὲ ὅμως τὴν γλυκεῖαν ἀκτῖνα, οὐ μικρὰν ἔχουσι τὴν ἐφ' οἷς ἀνιῶνται παράκλησιν. συνεχόμενος τοίνυν ὑπὸ τῆς νόσου ταύτης ὁ ἀνὴρ φθάνει τὸ κοινὸν καὶ φιλάνθρωπον τῶν ἁγίων ἰατρεῖον, καὶ ἱκετεύσας αὐτούς, εἰ καὶ μὴ πρὸς ἀξίαν, ἀλλ' οὖν γε ὡς ἡ δύναμις, εἶδεν κατὰ τὴν ἐνύπνιον ὄψιν ἄνδρα τινὰ ἐν εὐλαβείᾳ διαλάμποντα ὀνόματι Κοσμᾶν, ἐπιδιδόντα αὐτῷ μικρόν τι ὡς κηρίον ἁπαλώτατον σφόδρα κατὰ τὴν ἁφὴν τῆς κηρωτῆς. ἦν δὲ τοῦτο μικρὸν ὡς σφραγὶς ἐπιστολῆς, καὶ ἔλεγεν χιόνα αὐτὸ εἶναι. αὐτοῦ δὲ οἱονεὶ ξενιζομένου ἐπὶ τῷ λεχθέντι δείκνυσιν ὁ ἀνὴρ ἐν τῇ ἀριστερᾷ χειρὶ μέρος κρυστάλλου καὶ λέγει αὐτῷ· 'πίστευσον· ὅ σοι δέδωκα κηρίον ἐκ τούτου ἐστίν, κἀγὼ αὐτὸ ἐποίησα ἁπαλόν, ὡς ὁρᾷς.' συνῆκεν οὖν ὁ ἀσθενῶν, ὅτι τῆς κατεχούσης αὐτὸν νόσου τὸν τρόπον διηγεῖται καί πως τὴν θεραπείαν οἰκονομεῖ. συνέβη γὰρ κατὰ τὸ σχῆμα τοῦ ἐπιδειχθέν|τος αὐτῷ κρυστάλλου οὕ-* 466 *τως τὴν γενομένην λίθωσιν συγκεῖσθαι. διελύετο δὲ αὐτὴ οὐχ ὑφ' ἕν, ἀλλὰ κατὰ μικρόν. ὥσπερ γὰρ ὁ ἐπιδειχθεὶς αὐτῷ κρύσταλλος εἰς χιόνα κατὰ μικρὸν παρὰ τοῦ θεράποντος τοῦ θεοῦ μετεβάλλετο, οὕτως καὶ τὸ σκληρὸν καὶ λιθῶδες τῆς νόσου κατὰ μέρος εἰς ἁπαλότητα μετεποιεῖτο καὶ ἡ ἁπαλότης εἰς ὑγρὸν μετετρέπετο. καλῶς οὖν ἔλεγεν ὁ ὀφθεὶς ἀνὴρ τὸ ἐπιδοθὲν αὐτῷ μικρὸν κηρίον χιόνα εἶναι. καὶ ταῦτα μὲν καθ' ὕπνον, τῆς δὲ σαρκώσεως τῆς ὑπὸ τὴν λίθωσιν εἰς ὑγρὸν μεταποιηθείσης καὶ τοῦ πάσχοντος χωρίου συνεχομένου καὶ εἰς πλείονα ὄγκον ἐπαιρομένου ἐκ τοῦ μὴ εἶναι τόπον, δι' οὗ ἐκκριθῇ τὸ ἐπισυναχθὲν ὑγρόν, καὶ τοῦ ἀνδρὸς κινδυνεύοντος, συμπαθῶς οἱ ἅγιοι τὴν θεραπείαν προσφέροντες ὀπὴν μικρὰν ὡς ἀπὸ ῥαφίδος ἐν τῷ περιέχοντι τὸν τόπον ὑμένι ποιήσαντες δι' αὐτῆς ἅπαν τὸ ὑγρὸν*

γάσατο b | τούτου P7 b | 9 δὲ] οὖν P7 | 10 πάσχον fehlt in b | πάθος χωρεῖν V3 m1 | 11 τῆς χαλαιποτάτης δὲ ταύτης νόσου συναντ. καὶ m1 | δὲ vor ταύτῃ V3 | 12 μήτε H V3 P7 b | 13 ὀδυνώμενον fehlt in P7 b | 14 ᾖ] λίαν P7 | βλέποντας P7 | 16 ὑπὸ] ἀπὸ V3 m1 | 18 οὖν γε] οὔτε H | ὅση δύναμις P7 | 19 ἐν fehlt in b | εὐσεβείᾳ H | διαλάμποντα] διάγοντα P7 | 22 αὐτοῦ — οἱονεὶ] δὲ nach ξενιζομένου P7 b | 25 ἀσθενῶν] ἀνήρ H | 26 πῶς m1 P7 | 28 γινομενην P7 | διέλυε b | αὕτη P7 b | ὑφ'] ἐφ b | 29 γὰρ fehlt in P7 | 30 τοῦ vor θεοῦ fehlt in b | 33 μικρὸν fehlt in V3 m1 b | αὐτῶ nach χιόνα zugefügt in b | 36 ἐπεγειρομένου P7 b | ἐκκριθῆναι b | 38 ὀπὴν]

ἐκκριθῆναι εὐδόκησαν. τῇ δὲ τοιαύτῃ τῶν ἁγίων χάριτι συνέδραμεν
καί τις ἀνὴρ φίλος τοῦ ἀσθενοῦντος, χρηστὸς τὰ πάντα, ἐπιεικής,
διάκονος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως,
468 ἐπίσημός τε καὶ περιφανὴς καὶ σφόδρα | τοῖς τῆς ἐκκλησίας πράγμασι
χρήσιμος, ὑπουργὸς τοῖς γινομένοις. εὑρεθεὶς γὰρ κατὰ τὸν καιρόν,
ἐν ᾧ ἤρξατο ἐκκρίνεσθαι τὸ ὑγρόν, ἀποδυσάμενος, ὡς ἔφη, ἐν σπουδῇ
καὶ τὸν πάντων ἡμῶν δεσπότην καὶ σωτῆρα Χριστὸν μιμησάμενος καὶ
λεντίῳ ἑαυτὸν διαζώσας, οὐ τοῖς οἰκείοις παισὶ παρεστῶσιν ἐπέτρεψεν,
οὐ τοῖς τῷ ἀσθενοῦντι ἀνδρὶ διαφέρουσι συνεχώρησεν, ἀλλὰ ταῖς οἰκείαις
χερσὶ διάκονος τῆς θεραπείας τῶν ἁγίων ἐγίνετο. λαβὼν γὰρ σπόγ-
γους μετὰ ὕδατος θερμοῦ ἔστη ἐκβάλλων τὸ ὑγρὸν καὶ οὐκ ἐπαύσατο
ὑπουργῶν τῇ χρείᾳ, ἄχρις οὗ ἅπαν ἐκένωσέν τε καὶ ἐκάθαρεν, καὶ
ταῦτα ἑσπέρας βαθείας οὔσης, καὶ ἐπιθεὶς τῆς κηρωτῆς τῶν ἁγίων
καὶ κατασφραγίσας τὸν τόπον, ἐπευξάμενός τε καὶ ἐπιμελούμενος καὶ
εὐθυμεῖν ποιήσας οὕτως ἀνεχώρησεν. οὐ διέλειπεν δὲ οὐδὲ μετὰ
ταῦτα ἐπισκεπτόμενός τε καὶ ἐπιμελούμενος, ἄχρις οὗ ἔμελλεν ἐν χαρᾷ
τὸν ἴδιον οἶκον καταλαμβάνειν (εἷς γὰρ ἦν καὶ αὐτὸς τῶν προσφευ-
γόντων ἐπὶ σωτηρίᾳ τοῖς ἁγίοις), ὡς λοιπὸν τὸν ἰαθέντα εὔχεσθαι
ὑπὲρ τοῦ ἀνδρὸς καὶ λέγειν· ʽδῴη αὐτῷ κύριος ἔλεος ὡς τῷ Ὀνησι-
φόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξεν καὶ τὴν νόσον μου οὐκ ἐπῃ-
470 | σχύνθη. δῴη αὐτῷ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ.ʼ οὕτως τοίνυν διὰ τῆς τῶν ἁγίων χάριτος τῆς θεραπείας
γενομένης ἐπετέθη αὐτῷ καὶ ἡ τῶν ὀφθαλμῶν ἀσθένεια, ὡς μὴ δύνα-
σθαι αὐτὸν ὁρᾶν. ἀλλ᾽ εἶπου διὰ τὸ ἀργὸν αὐτὸν μὴ κεῖσθαι ἠβου-
λήθη βιβλίῳ ἐγκύψαι, οὐχ ἑώρα, ἀλλ᾽ ἐνόμιζεν ὀθόνην τοῖς γράμ-
μασιν ἐπικεῖσθαι· καὶ τοὺς μὲν ἀνθρώπους κινουμένους προσεῖχεν,
τὰς δὲ τούτων εἰκόνας οὐκ ἔβλεπεν. πλὴν τοιαύτῃ κατεχόμενος νόσῳ

22, 47 Joh. 18,4 58 2. Tim. 1,16

καὶ τὴν P^7 | μικρὰν] τινα H | 40 ηὐδόκησαν $V^3 m^1$ b | 41 καὶ vor ἐπιεικής zugefügt in P^7 b | 42 τ. ἁγ. ἐκκλ. τ. μεγ. καὶ βασ. τῶν πόλεων b | 44 ὑπουργῶν P^7 b | εὑρεθεὶς] καὶ b | 45 τ. ὑγρ.] τοῦτο P^7 τούτους b | ἔφην ὅπου δὴ P^7 b | 46 τῶν $V^3 m^1 P^7$ | χριστὸν fehlt in P^7 b | 47 διαζωσάμενος $V^3 m^1$ | παισὶ] fehlt in H παισὶ τοῖς P^7 b | 48 οὐ τοῖς fehlt in b | ἀσθενοῦντι fehlt in $V^3 m^1$ | 49 τ. ἁγίων fehlt in b | ἐγενετο b | 50 ἐκβαλὼν b | 51 οὗ] οὖν b | ἅπαντα P^7 b | ἐκαθάρισεν $V^3 m^1$ ἐκάθησε b | 52 βαθείας fehlt in H | τὴν κηρωτὴν P^7 | 53 εὐξάμενος H | ἐπιμελούμενος — ποιήσας (54)] εὐθυμήσας P^7 b | 54 οὐ fehlt in P^7 | οὐδὲ] οὐ P^7 b | 55 οὗ] οὖν b | ἤμελλεν b | 57 εὔξασθε b | 58 ὁ vor κύριος zugefügt in P^7 | 59 ἐπαισχύνθη $V^3 m^1$ b | 60 ὁ vor κύριος zugefügt in b | π. κυρ.] παρ᾽ αὐτοῦ P^7 b | τ. ἡμ. ἐκ. P^7 b | 62 γινομένης P^7 b | 64 καὶ vor οὐχ zugefügt in H $V^3 m^1$ δὲ nach ἑώρα in P^7 | τοῖς γράμμ.] τ. θαύμασι vor ὀθόνην b | 65 τινὰ vor ἐπικεῖσθαι zu-

οὐδ' ὅλως ἠνέσχετο κολλυρίῳ ἢ ἄλλῳ τινὶ βοηθήματι χρήσασθαι· ὅθεν οὐδ' ἐν τούτῳ παρεῖδον αὐτὸν οἱ ἅγιοι. ἐπιτιθεμένης γὰρ τοῖς ὀφθαλμοῖς αὐτοῦ τῆς κηρωτῆς καὶ στύψεως γινομένης κατά τι μέτρον, ὃ ἐδύναντο φέρειν οἱ ὀφθαλμοί, διεδίδοτο τὸ δάκρυον. συναντιλαμβάνετο δὲ τοῖς ὀφθαλμοῖς παραχρῆμα ἡ ῥὶς καὶ τὸ στόμα, καὶ ἐκενοῦτο τὸ ὕδωρ εἰς πλῆθος ἐκ τῆς γινομένης τοῖς ὀφθαλμοῖς στύψεως, ὡς ἄβατον γενέσθαι τὸν τόπον, ἐν ᾧ τὸ ὕδωρ ἀπέπτυεν. κενωθέντος δὲ κατὰ μέρος τοῦ ἐναποκειμένου ὕδατος διά τε τῶν ὀφθαλμῶν καὶ τῶν 472 ῥινῶν καὶ τοῦ στόματος ἠδυνήθη διὰ τῆς τοῦ θεοῦ χάριτος καὶ τῆς αὐτῶν ἐπισκέψεως τηλαυγῶς διαβλέψαι.

Wunder 23 (23)

καὶ ταῦτα μὲν τὰ παρὰ τοῦ θεοῦ καὶ τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ εἰς τὸν εἰρημένον γενόμενα, ἕτερος δέ τις ἀνὴρ ἐν τοῖς τῆς βασιλίδος πόλεως, διάκονος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τελῶν, τὰ πάντα θεοσεβὴς καὶ αὐτὸς τοῖς τῆς ἐκκλησίας πράγμασιν ἐμπρέπων, περιπεσὼν πάθει κατὰ τὸν ἔφηβον τόπον καὶ φλεγμονῆς ἐν τῷ τόπῳ γινομένης καὶ τῆς ἐπιφανείας μέγα κακὸν ἐπαγγελλούσης, ἔτι δὲ καὶ τῶν ἐντέρων θορυβουμένων καὶ χάλασμα ἀπειλούντων, συνέβη τὸν ἄνδρα ὀλίγον τῷ σώματι τυγχάνοντα δειλιᾶν καὶ στροφεῖσθαι· οὐ γὰρ τὸ δρώμενον κακὸν ἐφόβει μόνον, ἀλλὰ πολλῷ μᾶλλον τὸ προσδοκώμενον. τοὺς τοίνυν συνήθεις ἰατροὺς μεταπεμψάμενος καὶ πάντα σαφῶς αὐτοῖς διηγησάμενος καὶ αὐτὸν ὑποδείξας τὸν τόπον ἐτύγχανεν τῆς παρ' αὐτῶν δῆθεν ἐπιμελείας. ὡς δὲ τὸ ἕλκος οὐκ ἐνεδίδου, ἀλλὰ καὶ μᾶλλον εἰς ὄγκον ἤρετο, ἐλογίσατο τὸν ἐπιτηδειό|τερον τῶν 474 ἰατρῶν μεταπέμψασθαι· κόμης δὲ ἰατρῶν οὗτος. ὃς παραγενόμενος καὶ ἐπαντλήμασι συνεχέσι καὶ φαρμάκοις διαφόροις ἐφ' ἱκανὰς ἡ-

---

gefügt in b | κινουμένους] κειμενους H | 67 κολ(λ)ουρίῳ H (b) | 69 τῆς κηρὸς vor τοῖς (68) b | γενομένης P^7 | τι] τὸ H | μέτρον] μέρος $V^3 m^1$ | 70 ἠδύναντο $V^3 m^1$ b | φέρ. ἐδύν. P^7 | αὐτοῦ nach ὀφθαλμοί zugefügt in P^7 b | διεδίδοντο P^7 | σϋνάντελαμβάνετο P^7 συναντιλαμβάνοντο H | 71 ἐκένουν H | 72 τὸ fehlt in $V^3 m^1 P^7$ b | ὀφθαλμοῖς fehlt in m^1 | 73 ἐν — ἀπέπτυεν fehlt in b | ἔπτϋε P^7 | 74 ἀποκειμένου P^7 | 76 αὐτῶν] τῶν ἁγίων P^7 dass. nach ἐπισκέψεως b | αὐτοῦ vor τηλαυγῶς zugefügt in b || Wunder 23 Hss: $V^3 m^1 P^7$ b 1 τὰ fehlt in P^7 | ἁγίων] αὐτοῦ θεραπόντων P^7 | 2 καὶ vor εἰς zugefügt in P^7 | ἄνδρα nach εἰρημένον zugefügt in P^7 b | γινόμενα $m^1 P^7$ b | θαυμάσια nach γενόμενα zugefügt in P^7 | ἐν τοῖς] ἐκ P^7 | 3 μεγάλης fehlt in b | τελῶν] ὢν P^7 b | 4 πράγμασιν vor τῆς P^7 b | 6 ἐπάγγελλομένης P^7 | 7 τ. ἄνδρα] αὐτὸν P^7 | 8 κατολίγον P^7 | τυγχάνοντι P^7 b | στροβεῖσθαι P^7 b | 9 ἐφοβήτο b | 10 συνήθους $V^3 m^1$ | καὶ — διηγησάμενος (11) fehlt in P^7 | 13 καὶ fehlt in P^7 b | ἐλογίζετο $V^3 m^1$ | ἐπϊτηδιότατον b | 14 παραγενάμενος $V^3 m^1$ |

μέρας χρησάμενος τοσοῦτον ὑπὸ τοῦ πάθους ἡττᾶτο, ὅσον τῶν ἄλλων
ἰατρῶν προὔχειν ἐνόμιζεν, καὶ μὴ ἰσχύσας κατὰ τοῦ πάθους πλέον
τὸν ἄνδρα εἰς ἀθυμίαν ἐνέβαλεν, μέγας ἐν ἀνθρώποις φαινόμενος
καὶ τοῦ νοσήματος περιγενέσθαι μὴ δυνηθείς. ὡς δὲ λοιπὸν ἀφανῶς
ἕρπον τὸ νόσημα ἐργασίαν χαλεπωτάτην ἐνεποίει τοῖς τόποις, ἀπορ-
ρίψας τὰ περικείμενα φάρμακα ὁ ἀνὴρ τὸν ἡγιασμένον τῶν θερα-
πόντων τοῦ Χριστοῦ οἶκον καταλαμβάνει, καὶ θεὶς ἑαυτὸν ἐν τῷ λεγο-
μένῳ κατηχουμενίῳ τὴν σωτηρίαν αὐτοῦ πᾶσαν τοῖς ἁγίοις ἐνεπίστευσεν.
τῇ δὲ ἡμέρᾳ τῇ τρίτῃ ἐπιστάντες τῷ ἀνδρὶ οἱ ἅγιοι καθ' ὕπνον μει-
διῶντες πρὸς αὐτὸν καὶ τὰ πρόσωπα ἱλαρὰ δεικνύντες ἐπηρώτων δῆθεν
τὴν αἰτίαν τῆς νόσου. τοῦ δὲ ταύτην μετὰ δακρύων ἀπαγγείλαντος,
ἔφη τὸν ἕνα τῶν ἁγίων ψηλαφήσαντα τὸν τόπον εἰπεῖν οὕτως· 'οὐ-
δὲν χεῖρον γέγονεν', πάλιν τε περιπλέξαι τὴν χεῖρα διὰ τοῦ ὀπισθίου
μέρους τοῦ ἀνδρὸς καὶ ἐνεγκεῖν ἄχρι τοῦ τόπου τοῦ πάσχοντος καὶ
476 εἰπεῖν | μηδὲν τοῦ λοιποῦ ἔχειν κακὸν ἐκ τῆς νόσου διὰ τὸ πεφασκιῶ-
σθαι αὐτὸν παρ' αὐτῶν καθ' ὅλου τοῦ μέρους ἐκείνου, ὡς μηκέτι
χώραν σχεῖν τὸ ἐλπιζόμενον κακόν, ἀλλὰ στῆναι ὥσπέρ τι ῥεῦμα τειχίῳ
τινὶ καρτερῷ κωλυθέν. ἔτι δὲ τοῦ ἀνδρὸς ἐνδιατρίβοντος τῷ ἁγίῳ
αὐτῶν οἴκῳ συνέβη σφήνωσιν τῆς γαστρὸς ὑπομεῖναι, ὡς λοιπὸν μηδὲ
κινεῖσθαι δύνασθαι, ἀλλὰ ἀπαγορεύειν τὴν ζωήν, καί τινα ἑωρακέναι
τῶν ἁγίων διὰ τῆς νυκτὸς θέλοντα περιοδεῦσαι τὴν γαστέρα αὐτοῦ.
τοῦ δέ, φησίν, μὴ ἀνεχομένου, τέλος τοῦ ἁγίου τὰ τῆς περιοδίας
προσαγαγόντος δὶς καθίσαντα αὐτὸν λίθους ἀντὶ σκυβάλων κατενεγκεῖν
καὶ οὕτως γενέσθαι ἐλαφρόν, ὡς μηδέποτε ἠσθενηκότα. ἔλεγεν δὲ
συνεχεστέραν τὴν τῶν ἁγίων ἐπίσκεψιν πρὸς αὐτὸν γίνεσθαι καὶ
πολλὰ χαριέντως πρὸς αὐτὸν λεγόμενα, ἐν οἷς καὶ λόγους τινὰς παρὰ
τῶν ἁγίων μεμαθηκέναι ἀπήγγειλεν εἰς τὸ ἐπιλέγειν τῷ νοσήματι.
ἐμοὶ δὲ οὐ μόνον τὴν τῶν ἁγίων χάριν ἔστιν θαυμάζειν (ἔστιν γὰρ
αὐτὴ πάντα νοῦν, ὡς ἔφην, ὑπερβαίνουσα), ἀλλὰ καὶ τὴν πρόθυμον
τῶν προσφευγόντων τοῖς ἁγίοις ψυχήν, ὅτι, ὅπου πολλὴν εὕρωσιν
478 πίστιν, πολλὴν | καὶ τὴν ἀντίληψιν εἰσφέρουσιν. καὶ τὸ χαριὲς δὲ

---

16 χρησάμενος vor καὶ φαρμ. (15) P^7 | 18 ἀνθρώποις] ἰατροῖς P^7 | 22 τ. Χρ.] Χρ. vor θεραπόντων (21) P^7 | οἶκον] οἰκονόμον b | 23 ἑαυτοῦ V^3 | 24 τῇ vor τρίτῃ fehlt in b | 25 ἐπηρώτουν b | 28 χείρω $V^3 m^1$ χαῖρον b | τε] τῷ P^7 τὸ b | 29 τοῦ πάσχ. τόπου P^7 | 30 ἔχειν] σχεῖν V^3 | 31 καθόλον m^1 | 32 ἀλλ' ἀναστῆναι $V^3 m^1$ | 33 κραταιῷ P^7 | 37 τῆς fehlt in b | 38 προσάγοντος P^7 b | αὐτὸν] τὸν ἄνδρα P^7 b | 41 πρ. αὐ.] παρ' αὐτῶν vor χαριέντως P^7 | τὰ vor λεγόμενα zugefügt in b | καὶ fehlt in P^7 | 42 μεμαθηκῶς b | ἀπήγγελλεν P^7 | 44 αὕτη b | τὴν] τὸ b | 45 προσφυγόντων V^3 | ψυχήν] τύχην V^3 τυχεῖν m^1 | ὅπου] οὗ P^7 b | 46 πολλὴν fehlt in b | εἰσφέρωσιν m^1

τῶν ἁγίων τὴν τοῦ ἀνδρὸς ἐπιείκειαν σημαῖνόν μοι φαίνεται· εἰ γὰρ μὴ σφόδρα τῇ τοῦ ἀνδρὸς ἔχαιρον πίστει τε καὶ εὐλαβείᾳ, οὐκ ἂν οὕτως συχνῶς τε καὶ χαρίως πρὸς αὐτὸν διελέγοντο. ἀληθῶς τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, καὶ μαρτυρεῖ ὁ προφήτης Δαβὶδ λέγων· 'θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς.' οὕτως τοίνυν πιστεύσας τὴν οἰκείαν σωτηρίαν τοῖς ἁγίοις θεράπουσιν ὁ ἀνήρ, τῆς τελείας ὑγείας τυχὼν καὶ πληρώσας τὰς εὐχὰς αὐτοῦ, τὸν θεὸν ἵλεον ἐσχηκώς, τῶν ἁγίων φίλος γενόμενος, τὸ σῶμα ῥωσθείς, τὴν ψυχὴν ἁγιασθείς, ἀπῆλθεν τοῦ τῶν ἁγίων σηκοῦ, τὰ διὰ τοῦ θεοῦ καὶ τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ εἰς αὐτὸν γενόμενα καλὰ παντὶ ἀνθρώπῳ διηγούμενος.

Wunder 24 (24)

περὶ τοῦ παρέτου καὶ τῆς ἀλάλου γυναικός 480

ταῦτα τοῦ ἰαθέντος διηγουμένου καὶ πολλὴν ὠφέλειαν τῇ ἐμῇ ψυχῇ ἐντεῦθεν ἐντιθέντος (ἐδίδασκεν γὰρ ὡς δεῖ μετὰ πίστεως θεῷ προσιέναι, ὅτι ἡ πίστις τῶν ἐκ θεοῦ εἰς ἡμᾶς διαβαινόντων ἀγαθῶν μεσίτης ἐστίν) ἕτερός τις ἀνὴρ λαμπρός τε καὶ ἐπίδοξος ἔλεγεν, ὡς καὶ αὐτὸς ἀσθενείᾳ τινὶ περιπεσὼν κατέκειτο ἐν τῷ οἴκῳ τῶν ἁγίων, ἐκ δεξιῶν δὲ αὐτοῦ γυνή τις σεμνὴ ἔκ τινος ἀθυμίας τε καὶ θλίψεως εἰς ἀφωνίαν καταστᾶσα καὶ οὐ δυναμένη παντάπασιν λαλῆσαι, ἐξ εὐωνύμων δὲ τοῦ ἀνδρὸς ἕτερός τις παρειμένος. χρονίσαντος τοίνυν τοῦ τε παρέ-

---

23, 50 Röm. 8,28 51 Ps. 144 (145), 19

συνεισφέρουσαν b συνεισφέρονται P^7 | χάριεν P^7 | 47 μὴ γὰρ $V^3 m^1$ | 48 τὴν … πίστιν … εὐλάβειαν P^7 b | 49 χαρϊὼς b χαριέντως P^7 | 50 τὸ nach εἰς zugefügt in $m^1 P^7$ | 51 Δαβὶδ fehlt in b | ποιήσει] ποιήσει κύριος vor τῶν P^7 b | 53 ἐμπιστεύσας P^7 | ἁγίοις] ἀγαθοῖς P^7 b | τοῦ $\overline{χῦ}$ nach θεράπουσιν zugefügt in P^7 | ὁ ἀνὴρ vor τοῖς P^7 | τῆς] καὶ P^7 | 54 ὑγείας] σρ́ιάς b | πληρώσας nach αὐτοῦ P^7 | ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ (χαίρων) vor τὸν zugefügt in m^1 (P^7 b) | ἵλεων P^7 | 55 καὶ vor τῶν zugefügt in P^7 | τὴν — σηκοῦ (56)] καὶ P^7 | 56 τοῦ vor τῶν fehlt in b | 57 γινόμενα P^7 || Wunder 24 Hss: $V^3 P^{467} M^1 m^1 C^2 O^2$ Titel fehlt in $C^2 P^7$ π. τῆς ἀλάλου γυν. καὶ τοῦ παρημένου ἀνδρὸς καὶ τῆς τούτων συναφείας P^6 | παρειμένου M^1 | τῆς γυν. τῆς ἀλ. P^4 τ. γυν. αὐτοῦ O^2 τ. ἀλ. M^1 | 1 ταῦτα — ἐστίν (4)] fehlt in $P^{46} M^1 O^2$ bildet den Schluß des vorigen Wunders in $V^3 m^1 P^7$ b ist durch die Überleitung zu Wunder 22 vertreten in C^2 (s. o.) | καὶ vor ταῦτα zugefügt in $V^3 m^1$ | καὶ fehlt in P^7 | ὠφέλειαν] τὴν ὠφ. nach ψυχῇ (2) P^7 b | 2 ἐντεῦθεν fehlt in P^7 b | ἐνετίθετο P^7 | ἔδει b | 3 ἡ] fehlt in P^7 nach πίστις b | ἐκ θεοῦ] fehlt in P^7 nach ἡμᾶς b | 4 ἐστίν fehlt in P^7 b | δέ vor τις zugefügt in M^1 | 6 τε fehlt in P^{67} | εἰς fehlt in $V^3 P^4 m^1$ | 7 ἀφωνία P^4 | 8 ἕτ. τ. π.] παρ. ἕτ. P^6 |

του καὶ τῆς γυναικὸς τῆς ἀλάλου καὶ τοῦ ἐν μέσῳ αὐτῶν ἀνακειμένου ἀνδρὸς ἐν τῷ οἴκῳ τῶν ἁγίων ὤφθησαν οἱ θεράποντες τοῦ Χριστοῦ τῷ παρέτῳ λέγοντες· 'εἰ θέλεις ὑγιὴς γενέσθαι, κοιμήθητι μετὰ τῆς πλησίον σου ἀνακειμένης ἀλάλου γυναικός.' ἀλλὰ μηδεὶς αἰσχρὸν τὸ γινόμενον νομιζέτω, τῷ σκοπῷ δὲ μᾶλλον τῶν ἁγίων προσεχέτω· οὐ γὰρ συγγενέσθαι, ὡς ἄν τις ὑπολάβοι, προσέταττον, ἀλλὰ ἀφορμὴν σωτηρίας τοῖς δύο μίαν παρέχοντες. διυπνισθεὶς δὲ ὁ ἀνὴρ ὑπέλαβεν φαντασίαν εἶναι τὴν ὀπτασίαν καὶ ῥαθύμως πρὸς ταύτην διετέθη. πάλιν δὲ ἐκ δευτέρου ὀφθέντες αὐτῷ οἱ ἅγιοι ὡσαύτως εἰρήκασιν· ὃ
482 δὲ καὶ πάλιν ἐρραθύμησεν, ἀλλότριον τῶν ἁγίων τὸ ἐπί|ταγμα λογισάμενος. ἐκ τρίτου δὲ αὐτῷ ὀφθέντες καὶ ἀπειλήσαντες ἔπεισαν πρὸς τοῦτο. καὶ ὁρᾶτε τῶν ἁγίων τὴν δύναμιν· δύο γὰρ κατ' αὐτὸν θαύματα ἐργάσασθαι βουλόμενοι θάτερον διὰ τοῦ ἑτέρου κατασκευάζουσιν, σοφοὶ γὰρ ὄντες καὶ φιλάνθρωποι φρονήσει καὶ τὰς ἰατρείας ἐπιτελοῦσιν. νύκτα οὖν μέσην ἐπιτηρήσας ὁ πάρετος ἔρχεται πλησίον τῆς ἀφώνου γυναικός, ἠρέμα καὶ κατ' ὀλίγον ἕρπων. ὡς δὲ ἐπελάβετο τῆς κλίνης, ᾔσθετο τὸ γύναιον, καὶ τὸν ὕπνον μετὰ τῆς ἀφωνίας ῥίψαν ἐκάλει τε καὶ ἀνεκάλει σὺν μεγάλῃ τῇ φωνῇ τοὺς παρόντας τὸν ἐπελθόντα κακοῦργον ἀνελεῖν. ὃ δὲ δρασμῷ χρήσασθαι βουληθεὶς (καὶ γὰρ ἑώρα τοὺς περὶ τὴν βοῶσαν ἐπ' αὐτὸν ὁρμῶντας) ἥλλατο τοῖς ποσὶν καὶ δρομαίως τοῖς γόνασιν προσέπεσε τοῦ ταῦτα διηγησαμένου ἀνδρός. ὢ τῆς καλῆς τῶν θεραπόντων τοῦ Χριστοῦ συμβουλῆς, ὢ ὑπόθεσις σωτηρίας γέμουσα· ὁ πάρετος τὴν ἄφωνον ἐδίδαξεν λα-

---

χρονησάντων M^1 | τοίνυν] δὲ M^1 | τε fehlt in $m^1 P^6 O^2$ | παρημένου P^6 παραλύτου M^1 | 9 ἐν] ἐμ $V^8 m^1$ | ἐν — αὐτῶν nach ἀνδρὸς (10) P^6 | επικειμένου P^7 | 10 τοῦ ἁγίου P^6 | δὲ nach ὤφθησαν zugefügt in P^6 | τ. χρ. θερ. P^7 | 11 κοιμήθητι — γυναικός (12)] συγγίνου τῇ πλ. σ. ἀνακειμένῳ γυναικὶ τῇ ἀλάλῳ P^6 συγγενοῦ τῇ πλ. σ. ἀνακειμένῃ γυν. P^7 | 12 γυναικός fehlt in C^2 | ἀγαπητοὶ nach μηδεὶς zugefügt in M^1 | 13 γινόμενον] λεγόμενον $M^1 C^2 P^{67}$ | λογιζέτω C^2 | τῷ — προσεχέτω fehlt in P^4 | μᾶλλον nach ἁγίων O^2 | 14 ὑπολάβῃ P^7 | 15 μίαν vor τοῖς P^{67} | παρέχων P^6 | διυπνισθεὶς — ἀνὴρ fehlt in P^7 | δὲ] καὶ vor διυπνισθεὶς $V^8 m^1$ | 16 εἶναι τ. ὀπτ. fehlt in C^2 | 17 πάλιν fehlt in P^4 | δὲ] fehlt in $V^8 m^1 O^2$ nach δευτέρου P^4 τὲ P^7 | 18 καὶ fehlt in P^6 | ῥαθυμίσας C^2 | τὸ ἐπίτ. τῶν ἁγ. $P^6 O^2$ | ἐλογίσατο C^2 | 19 ὀφθ. αὐ. P^6 | οἱ ἅγιοι nach ὀφθέντες zugefügt in C^2 | κ. ἀπειλ. fehlt in P^6 | ἀπειλ.] ἀπειλησάμενοι αὐτῷ P^7 | 20 ὅρα $C^2 P^{67}$ ὅρα ἀγαπητὲ M^1 | κ. αὐτῶν P^6 κ. αὐτῷ O^2 κατᾶταυτὸ P^7 κατὰ τοῦτο M^1 κ. τούτων C^2 | 22 σοφοὶ — ἐπιτελοῦσιν (23) fehlt in M^1 | 23 νύκτα — μέσην] μεσονύκτιον P^6 | νυκτὶ P^7 | μέσῃ $C^2 P^7$ | 24 ἀφώνου] ἀλάλου M^1 | καὶ] fehlt in $V^8 P^4 m^1$ τε P^7 τε καὶ P^6 | 26 ἐνεκάλει $M^1 C^2 P^7$ ἀπεκάλει P^6 | σὺν fehlt in C^2 | τῇ fehlt in M^1 | 27 ἑλεῖν $V^8 M^1 C^2$ | δρόμῳ M^1 δρόμον C^2 | 29 δρομαῖος $M^1 C^2$ | προσέπεσεν nach ἀνδρός (30) $M^1 C^2$ πρὸς ἐπέλασε ebd. P^7 πρὸς ἐπάλαισεν ebd. P^6 | 30 ὢ fehlt in P^7 | τοῦ fehlt in O^2 | Χριστοῦ] θῦ P^7 | συμβουλίας C^2 βουλῆς M^1 | 31 ὢ] γὰρ ἦν nach ὑπόθεσις P^6 | ἐδίδ. λαλ. τρ.] εὔλαλον ἀνέδειξεν C^2 |

λεῖν τρανῶς, ἡ ἄλαλος τὸν πάρετον ἀσκελίστως τρέχειν ἐδίδαξεν. μᾶλλον δὲ οὔτε ἡ ἄλαλος τὸν πάρετον οὔτε ὁ πάρετος τὴν ἄλαλον ἔσωσεν, ἀλλ' ὁ θεὸς τὴν σωτηρίαν διὰ τῶν ἁγίων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ ἀμφο|τέροις χαριζόμενος. ὡς δὲ μεμάθηκα παρὰ τοῦ μέσου 484
αὐτῶν ἀνδρός, μετὰ ταῦτα πρὸς ἔννομον γάμου κοινωνίαν συνήφθησαν, σεμνῶς βιοῦντες καὶ ἀεὶ τὴν τῶν ἁγίων χάριν καὶ θεραπείαν ἀκμάζουσαν περιφέροντες. οὕτως τοίνυν τῆς ἰάσεως τυχόντες ἐξῆλθον τὸν τῶν ἁγίων σηκόν, τὰς εὐχὰς αὐτῶν πληρώσαντες, τοῖς ἁγίοις εὐχαριστήσαντες, τῷ θεῷ τὸ ζῆν αὐτῶν ἀναθέμενοι, ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Wunder 25
(25)

περὶ τῆς φανερώσεως τῆς σώφρονος γυναικός

ἕτερόν τι τοιοῦτο πάλιν μεμαθήκαμεν· γυνή τις τῷ ἰδίῳ ἀνδρὶ συνοικήσασα χρόνους ἱκανούς, κατὰ θεὸν ζῶσα καὶ τῆς ψυχῆς πρόνοιαν ποιουμένη πολλήν, ὡς ἡ τοῦ πράγματος ἔκβασις ἔδειξεν, εἰς ζηλοτυπίας πρόφασιν ἔπεσεν, τοῦ ἀνδρὸς ὑπονοοῦντος σεσυλῆσθαι τὸν γάμον. ὡς δὲ ἡ γυνὴ λόγοις τε τοῖς προσήκουσιν ἐχρήσατο καὶ θεὸν μάρτυρα τῆς συνειδήσεως ἐκάλει, ὡς οὐδέποτε οὐδὲ κατ' ἐνθύμησιν γέγονεν

ἀνεδίδαξε M^{1} | 32 τρανῶς vor ἐδίδαξεν (31) P^{67} O^{2} | καὶ vor ἡ zugefügt in M^{1} P^{67} πάρετον ἀ am Ende von Folio 328^{r} in O^{2}, danach fehlt alles bis πάρετον (33), σκελίστως — δὲ (33) am unteren Rande nachgetragen von 2. Hand | ἀσκελίστως fehlt in C^{2} | ἐδίδασκεν V^{3} ἐποίησε(ν) M^{1} P^{6} | 33 οὔτε — πάρετον nach ἄλαλον M^{1} C^{2} | 34 ἔσωσεν fehlt in P^{4} | ἀλλ' ὁ] ἀλλὰ V^{3} | ὁ nach θεὸς zugefügt in M^{1} P^{7} | 35 ἐχαρίζεται O^{2} χαρισάμενος P^{67} dass. vor ἀμφοτέροις M^{1} χαριζόμενος ebd. C^{2} | 36 ἀνακειμένου vor ἀνδρός zugefügt in M^{1} C^{2} | ὅτι vor μετὰ zugefügt in V^{3} P^{47} M^{1} C^{2} O^{2} | μετ' αὐτὰ ταῦτα M^{1} | ἐννόμου C^{2} O^{2} | τοῦ vor γάμου zugefügt in P^{7} | 37 χάριν καὶ fehlt in P^{67} καὶ in M^{1} | 38 ἰάσεως] ὑγείας P^{6} | ἐξῆλθον — σηκόν (39) fehlt in C^{2} | τὸν — σηκόν (39)] τῶν ἁγίων σηκῶν P^{467} O^{2} | 39 τὰς ἑαυτῶν πληρ. εὐ. P^{6} | ἀποπληρώσαντες O^{2} | καὶ nach ἁγίοις zugefügt in P^{7} | εὐχαριστοῦντες V^{3} m^{1} | 40 τῷ — αἰώνων (42)] ἐν χ̅ω̅ ἰ̅υ̅ τῷ κ̅ω̅ ἡμῶν· μεθ' οὗ πρέπει τιμὴ καὶ κράτος, σὺν π̅ρ̅ι̅ καὶ ἁγίω π̅ν̅ι̅· νῦν καὶ ἀεὶ καὶ εἰς τ. αἰ. τ. αἰ. ἀμήν P^{6} | τῷ θεῷ] δὲ M^{1} δὲ καὶ C^{2} | τὸ — αἰώνων (42)] δόξαν ἀναπέμψαντες ἀμὴν O^{2} | τὴν ζωὴν P^{4} | ἑαυτῶν αὐτῷ ἀνέθεντο P^{7} αὐτοῖς παραθεμένω M^{1} αὐτοῖς χαρισαμένω C^{2} | ὅτι — αἰώνων (42)] fehlt in M^{1} C^{2} P^{7} | ἡ fehlt in V^{3} P^{4} | 41 νῦν καὶ ἀεὶ καὶ vor εἰς zugefügt in P^{4} | 42 αἰώνων fehlt in m^{1} | ἀμήν nach αἰώνων zugefügt in P^{4} || Wunder 25 Hss: V^{3} m^{1} C^{1} P^{7} Titel fehlt in P^{7} ἕτερα θαύματα τῶν ἁγίων C^{1} | 1 ἕτερον — μεμαθήκαμεν fehlt in C^{1} | 2 καὶ vor κατὰ zugefügt in C^{1} | 3 ἔδ. ἔκβ. m^{1} C^{1} | 5 ἡ fehlt in V^{3} | τε fehlt in P^{7} | ἐχρῆτο P^{7} | 6 ἐκάλει] ἐκβάλλει C^{1} | αὐτὴ vor οὐδὲ zugefügt in P^{7} | οὐδὲ] fehlt in C^{1} οὔτε V^{3} m^{1} | τι nach γέγονεν zugefügt in P^{7} |

486 τοιοῦτον, ἀλλ' ἄσυλον καὶ ἀνεπιβούλευτον τὸν γάμον διεφύ|λαττεν, μηδένα ἀνδρῶν πράξεως χάριν τοιαύτης ἐπισταμένη πλὴν αὐτοῦ, οὐκ ἐπείθετο ὁ ἀνήρ, ἀλλ' ἐνέκειτο σφοδρῶς τῇ ὑπονοίᾳ κρατούμενος. συνέβη οὖν μαλακισθέντα αὐτὸν καταλαβεῖν τὸν οἶκον τῶν ἁγίων ἅμα τῇ γυναικὶ αὐτοῦ. ὡς δὲ βελτιωθεὶς ἡμέρας τινὰς διέτριβεν ἐκεῖσε, ᾔτει παρὰ τοῦ θεοῦ γνωσθῆναι αὐτῷ τὸ κατὰ τὴν γυναῖκα αὐτοῦ. καὶ δὴ συνέβη τινὰ πάσχοντα τοὺς ὀφθαλμοὺς καὶ τοῦ φωτὸς στέρησιν ὑπομένειν μέλλοντα ἰδεῖν κατ' ὄναρ ἕνα τῶν ἁγίων λέγοντα αὐτῷ· 'εἰ θέλεις τὸ φῶς τηλαυγῶς ἰδεῖν καὶ ἀπολαύειν τούτου γνησίως, λαβὼν γάλα γυναικὸς σώφρονος περίχρισον τοὺς ὀφθαλμούς σου, καὶ εὐθέως τὸ φῶς καθαρὸν λάμψει σοι.' ὁ οὖν ἀνὴρ εὐπειθῶς παρὰ τοῦ θεράποντος τοῦ Χριστοῦ τὸ λεχθὲν δεξάμενος καὶ ἀπόρως περὶ τοῦ εὑρεῖν ἔχων (ἡγεῖτο γὰρ οὔτε τὴν περὶ σωφροσύνης δόξαν ἀσφαλεστάτην εἶναι, ἀλλ' οὔτε τὸν πυνθανόμενον δύνασθαι τὰ περὶ τούτου μαθεῖν ἀκριβῶς· δυοῖν γὰρ θάτερον· ἢ εἰς ὕβριν ἀνάγεσθαι τὸ πρᾶγμα, ἢ τὸ ἀληθὲς φέρον αἰσχύνην ἀποκρύπτεσθαι) ἠμφίβαλλεν
488 καὶ πλέον τῶν ὀφθαλμῶν ἔπασχεν τὴν διάνοιαν. διαδί|δωσιν οὖν τὸν λόγον τοῖς πλησίον. φθάσαντος δὲ τοῦ λόγου τὸν ἄνδρα τὸν τὴν ζηλοτυπίαν πρὸς τὴν οἰκείαν ἔχοντα γυναῖκα, περιχαρῶς δεξάμενος τὸ λεχθὲν ὁ ἀνὴρ ἔλεγεν ἐντεῦθεν αὐτῷ σαφῆ τὴν ἀπόδειξιν γενέσθαι. γνωρίσας οὖν τῇ ἰδίᾳ γυναικὶ τὸ παρὰ τῶν ἁγίων τῷ πάσχοντι τοὺς ὀφθαλμοὺς προσταχθὲν ᾔτει δι' αὐτῆς τοῦτο τῷ ἀνδρὶ παρασχεθῆναι. ἡ δὲ προθύμως τὸ προσταχθὲν ποιήσασα δέδωκεν τῷ ἰδίῳ ἀνδρί, αὐτὸς δὲ πάλιν δέδωκεν τῷ πάσχοντι, καὶ ἐγχρισάμενος τοὺς ὀφθαλμοὺς τῷ γάλακτι τῆς γυναικὸς κατὰ τήν τῶν ἁγίων πρόσταξιν παρόντος καὶ τοῦ ὑπονοοῦντος τὴν οἰκείαν γαμετὴν ἔδρακεν ὁ ἀσθενῶν τηλαυγῶς, δοξάζων τὸν θεόν. ἔβλεψεν δὲ καὶ ὁ ἀνὴρ τὴν ὁμόζυγον γνησίως, ὡς ἑκατέρωθεν περὶ ὀφθαλμοὺς γενέσθαι τὸ παράδοξον. ὢ μιᾶς ἰατρείας δύο θεραπείας ἐργασαμένης, ὢ δύο θαυμάτων ἐξ

7 τ. γάμον fehlt in C^1 | διαφυλάττειν m^1 | 8 ἄνδρα C^1 | ἐπισταμένης $V^3 m^1$ | αὐτοῦ] αὐτῆς C^1 | 9 ἔκειτο C^1 ἐνεκινεῖτο P^7 | 10 κατὰ vor μαλακισθέντα zugefügt in P^7 | 12 τοῦ fehlt in P^7 | γνωσθῆναι] γνώσει εἶναι C^1 | 13 αὐτοῦ fehlt in P^7 | 14 ὑπομεῖναι P^7 | μέλλοντος ἴδεν $V^3 m^1$ | 15 εἰ fehlt in C^1 | τηλαυγῶς fehlt in P^7 | ἀπολαύσαι nach τούτου P^7 | 16 σώφρ. γυν. C^1 | 17 ἀναλάμψει σου $C^1 P^7$ | οὖν] τοίνυν P^7 | 18 ἁγίου vor θεράποντος zugefügt in P^7 | 19 τοῦ] τὸ P^7 | οὔτε fehlt in P^7 | τὴν περὶ] περὶ τῆς C^1 | 20 ἀσφαλῶς P^7 | 21 ἢ fehlt in C^1 | ἀναγενέσθαι C^1 | 22 ἢ] καὶ C^1 | ἀμφέβαλλε P^7 | 23 οὖν fehlt in P^7 | 26 σαφῶς P^7 | γίνεσθαι P^7 | 27 ἰδίᾳ] οἰκείᾳ $C^1 P^7$ | 28 προσταχθὲν vor τῷ (27) P^7 | τοῦτο nach ἀνδρὶ C^1 | 30 χρισάμενος P^7 | 31 πρόσταξιν] πρᾶξιν C^1 | παρόντος καὶ] παρὰ $V^3 m^1$ | 32 ἔδωκεν V^3 dass., aber über den Silben δωκεν die Silben βλεπεν, m^1 ἔβλεψεν $C^1 P^7$ ἔδερκεν W | 34 τοὺς vor ὀφθαλμοὺς zugefügt in P^7 | 35 ὢ vor μιᾶς] ὡς V^3 | δύο vor θαυμ.] δύων C^1 |

ἑνὸς ἐπιτάγματος γενομένων· ἄλλος ἐξήτει τὸ φάρμακον, καὶ ἄλλος ἐλάμβανεν τὴν ἴασιν, καὶ νόσος μὲν ἐπαύετο σωματική, συνεπαύετο δὲ καὶ ψυχικὴ ἀσθένεια ταύτῃ. οὕτως ἄρα καὶ τοῦ σοφῶς ἰατρεύειν καὶ φιλανθρώπως ἐπιμελοῦνται οἱ ἅγιοι, καὶ τοῦτο διὰ τῶν | δύο τού- 490
των ἐφεξῆς ἔγνωμεν θαυμάτων. οὐκοῦν οὔτε αἰσχρὸν αὐτῶν τὸ ἐπίταγμα εἴποιμι ἄν πώποτε, σοφὸν δὲ καὶ τῶν πάνυ σοφῶν σοφώτερον. ‘αἰτήσει γάρ’, φασίν, ‘ὁ νοσῶν τὸ γάλα τῆς σώφρονος γυναικός, καὶ ὁ διὰ ταύτην ἀσθενῶν ἰαθήσεται· καὶ πάθος μὲν πάθει φανερούσθω, θαῦμα δὲ θαύματι ἐπιτελείσθω.’

Wunder 26 ἕτερος δέ τις ἐν τοῖς πρώτοις δῆθεν τῶν κληρικῶν μιᾶς αἱρέσεως καταλεγόμενος, τῶν πολλῶν τε καὶ ἀπείρων θαυμάτων τῶν ἁγίων ἀκροώμενος, ποτὲ μὲν πιστεύων, ποτὲ δὲ ἀπιστῶν, τάχα δὲ πάντοτε ἀπιστῶν (τοῦτο γὰρ αἱρετικῶν οἰκεῖόν τε καὶ συγγενές), ἠβουλήθη τὴν παννυχίδα τοῦ σαββάτου ἐν τῷ καθηγιασμένῳ τῶν θεραπόντων τοῦ Χριστοῦ οἴκῳ ποιήσασθαι. καὶ δὴ παραγενόμενος καὶ καθευδήσας ὁρᾷ διὰ τῆς νυκτὸς τοὺς ἁγίους λέγοντας αὐτῷ· ‘εἰπὲ τῇ πλησίον σου κοιμωμένῃ γυναικί, τῇ τὸν μαστὸν πασχούσῃ, ἀπολελύσθαι αὐτὴν τῆς ἀσθενείας.’ τοῦ δὲ διυπνισθέντος καὶ ἐρυθριῶντος λαλῆσαι τῇ γυναικὶ ἐκ τοῦ μὴ ἔχειν τῶν λεγομένων ἀπόδειξιν (ἦν γὰρ σεμνή τε καὶ ἐπίδοξος ἡ γυνή) καὶ αὖθις ἐπιστάντες οἱ ἅγιοι εἰρήκασιν αὐτῷ· ‘λάλησον τῇ γυναικὶ ἀπολελύσθαι αὐτὴν τῆς ἀσθενείας.’ τοῦ δὲ ἐκπληττομένου, ἅμα δὲ καὶ ἀμφιβάλλοντος, εἴγε ἄρα οἱ ἅγιοι αὐτῷ ὤφθησαν, καὶ ῥαθυμοῦντος, λέγουσιν αὐτῷ ἐκ τρίτου· ‘εἰπὲ τῇ γυναικί, καθὼς ἤδη λελαλήκαμέν σοι. εἰ δὲ πληροφορεῖσθαι βούλει μετ’ αὐτῆς, εἰπὲ αὐτῇ ζητῆσαι ὑπὸ τὸ στρῶμα κατὰ τὸ πρὸς τοὺς πόδας αὐτῆς μέρος κατασκευασμένον παρ’ ἡμῶν φάρμακον· καὶ ἐπιθήσει τῷ πάσχοντι μαστῷ καὶ ἰαθήσεται.’ ὡς δὲ ἐπετέθησαν αὐτῷ οἱ ἅγιοι, δεδώκασιν δὲ καὶ ἀπόδειξιν τῶν λεγομένων, ἀναστὰς ἐπειρᾶτο λέγειν αὐτῇ, ἅπερ πρὸς αὐτὸν οἱ ἅγιοι εἶπον. ἡ δὲ νομίσασα κατά τινα παίγνια ἐληλυθέναι αὐτὸν ἀπωθεῖτο λέγουσα μὴ πρέπειν αὐτῷ κληρικῷ ὄντι καὶ ἐν τοιούτῳ ἀνακειμένῳ οἴκῳ, ἐν ᾧ πηγαὶ τῶν ἰαμάτων βλύζουσι, καταχλευάζειν γυναῖκας. τοῦ δὲ εἰπόντος προστάξει τῶν ἁγίων

---

36 ἐξ’ ἤτει V^3 | 37 ἐπαύσατο $V^3 m^1$ | 38 ταύτῃ vor καὶ ψυχ. P^7 | ταύτῃ — ἄρα] αὕτη οὖν C^1 | τοῦ] τοῦτο P^7 | σαφῶς C^1 | 39 ἐπὶμελῶνται V^3 ἐπὶμελῶς τε C^1 ἐπιστέλλονται P^7 | 40 ἑξῆς P^7 | ἔγνων P^7 | τὸ ἐπίτ. αὐ. P^7 | 42 φησίν alle Hss | τ. σώφρ. γυν.] αὐτῆς C^1 | 43 ταύτης C^1 | 44 καὶ τοῦτο μὲν τοιοῦτον· οἱ δὲ ἀμφότεροι ἀνεχώρησαν εἰς ἕκαστος εἰς τὸν ἴδιον οἶκον· δοξάζοντες τὸν θεὸν καὶ τοὺς ἁγίους· εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν nach ἐπιτελείσθω zugefügt in C^1 || Wunder 26 Hs: P^7 10 εἴχειν | 16 τὸ πρὸς am unteren Rande nachgetragen |

εἰρηκέναι αὐτῇ τοῦτο καὶ δεῖν σπουδαίως τε καὶ περιχαρῶς δέξασθαι τὸ λεγόμενον, πάλιν ἡ γυνὴ ἀπωθεῖτο αὐτόν. ὡς δὲ εἶδεν ὁ ἀνὴρ ἀποπηδῶσαν αὐτὴν διὰ πολλὴν σεμνότητα καὶ μὴ θέλουσαν ἐπὶ πολὺ διαλέγεσθαι αὐτῷ, ἐπιταχύνας καὶ τὸ πιστὸν δεικνὺς λέγει αὐτῇ· 'εἰ θέλεις γνῶναι, ὅτι οἱ ἅγιοι ἀπεστάλκασί με πρός σε, ζήτησον κατὰ τὸν πρὸς τοὺς πόδας σου τόπον, καὶ εὑρήσεις φάρμακον παρὰ τῶν ἁγίων σοι ἡτοιμασμένον· τοῦτο ἐπιθεῖσα τῆς παρ' αὐτῶν τεύξῃ θεραπείας.' εὑροῦσα τοίνυν κατὰ τὴν τοῦ ἀνδρὸς φωνὴν ἡ γυνὴ τὸ φάρμακον καὶ τῷ νοσοῦντι προσπλάσασα τόπῳ τῆς παρὰ τοῦ θεοῦ καὶ τῶν ἁγίων ἠξιώθη σωτηρίας, δοξάσασα τὸν θεὸν τὸν οὕτως φιλανθρώπως τὰ ἀνθρώπινα διοικοῦντα πράγματα. ἐκεῖνός τε τὸ πιστὸν τῶν ἁγίων ἐκ τῆς τοῦ πράγματος ἐκβάσεως ἐσχηκώς (δι' ἀποδείξεως γὰρ καὶ οὐ δι' ἀκοῆς πιστεύειν εἰώθασιν αἱρετικοί), ἄλλως τε δὲ καὶ ἔξαρχος μετά τινα χρόνον τῆς θρησκείας αὐτοῦ γενέσθαι χρηματισθεὶς παρὰ τῶν ἁγίων, ἀπῆλθε σέβων μὲν ἐκ τότε τοὺς θεραπευτὰς τοῦ Χριστοῦ ὑπερβαλλόντως καὶ συντρέχων ἐν τῷ οἴκῳ αὐτῶν τῷ ἐνδόξῳ. ἐπιτυχὼν δὲ κατὰ τὸν τῶν ἁγίων χρηματισμὸν ἐν τῷ καιρῷ, ᾧ εἰρήκεισαν αὐτῷ, τῆς προεδρίας συγγράφει ὡς μεμάθηκα τὰ θαύματα τῶν ἁγίων, τὸ Αἰγαῖόν τε καὶ Ἀντλαντικὸν πέλαγος τῶν ἁγίων μετρεῖν φιλονέικῶν, σπεύδων ὡς ἔμαθον τῆς τοῦ Χριστοῦ ὀρθοδόξου ποίμνης πρόβατον γενέσθαι, ἐὰν μὴ τῶν ἀνθρώπων ἡ δόξα κώλυμα αὐτῷ γένηται, ὡς πώποτε τοῖς Ἰουδαίοις, καθώς φησι περὶ αὐτῶν ὁ εὐαγγελιστής, ὅτι πολλοὶ ἐξ αὐτῶν ἔγνωσαν τὸν κύριον Ἰησοῦν αὐτὸν εἶναι τὸν Χριστόν, ἀλλ' οὐδεὶς φανερῶς ὡμολόγει· ἠγάπησαν γὰρ μᾶλλον τὴν δόξαν τῶν ἀνθρώπων ἤπερ τὴν δόξαν τοῦ θεοῦ. τοσοῦτον οἶδε πόρρω που καὶ αὐτοῦ τοῦ θεοῦ τὸν λογισμὸν ἀπαγαγεῖν τὸ δύστηνον τοῦτο δοξάριον. ἰδοὺ τοίνυν, ἀγαπητέ, κατὰ τὴν αἴτησίν σου γράψας ἐν τῷ τέως τὰ τῶν ἁγίων τοῦ Χριστοῦ θεραπόντων Κοσμᾶ καὶ Δαμιανοῦ θαύματα ἀπέσταλκά σοι. καὶ εἰ εὕρω χαίροντα τούτοις, προσθήσω καὶ ἕτερα· εἰ δὲ βούλει καὶ ἑτέροις ὑπαναγινώσκειν ταῦτα, νουθέτει αὐτοὺς μετὰ πίστεως προσιέναι τῷ θεῷ καὶ τοῖς ἁγίοις καὶ καρπὸν τῆς πίστεως τὴν ἐλεημοσύνην βλαστάνειν, τὴν προσευχὴν ἐκτενῶς ποιεῖσθαι, τὴν ψυχὴν διὰ παντὸς πρὸς τὸν θεὸν καὶ τοὺς ἁγίους ὁρᾶν. παράγγελλε μηδένα τῶν προσφοιτώντων τοῖς ἁγίοις ἀμφιβάλλειν περὶ τῆς οἰκείας σωτηρίας, πιστεύειν δὲ μᾶλλον καὶ τυγχάνειν τῆς σωτηρίας διὰ τάχους. εἰ γάρ τις μὴ μετὰ πίστεως καὶ δακρύων προσέλθοι τὴν ἴασιν αἰτῶν,

26, 46 Joh. 12,42

24 δεῖ | 28 τὸν κατὰ | 41 προσεδρείας | μάθηκα | 62 διαμένουσιν | 69 εἶδε | 72 προσείημεν | 75 εἴδετε

πῶς τεύξεται ταύτης; καὶ εἰ δοκεῖ, σκοπήσωμεν. τὰ χαρίσματα τῶν ἰαμάτων λαβόντες οἱ ἅγιοι τοῖς ἀσθενοῦσι διανέμουσιν, ὁ δὲ θεὸς διὰ τῶν ἁγίων αὐτοῦ ἐνεργῶν πάντα δύναται καὶ πάντα γινώσκει, καὶ οὐδὲν τῶν ἀνθρωπίνων λανθάνει αὐτόν· πάντων γὰρ αὐτός ἐστι ποιητὴς καὶ δεσπότης καὶ ὑπὲρ πάντων αὐτῶν μέλει καὶ πλέον ἡμῶν φιλεῖ ἡμᾶς. ὁμοίως δὲ καὶ οἱ ἅγιοι μιμηταὶ τῆς ἀγαθότητος αὐτοῦ ὄντες καὶ σπλάγχνα ἔχοντες Χριστοῦ ἀγαπῶσιν ἡμᾶς, σφόδρα χαίροντες ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν. εἰ οὖν ὁ θεὸς ἀγαθός ἐστιν, ὥσπερ δὴ καὶ ἔστιν ἀεί, καὶ οἶδε πάντα σαφῶς καὶ ἀδυνατεῖ αὐτῷ οὐδὲν καὶ οἱ ἅγιοι μιμηταὶ αὐτοῦ εἰσι· τίς ἡ αἰτία τῶν παρακαλούντων τὸν θεὸν καὶ μὴ τυγχανόντων τοῦ αἰτήματος; πάντως ἡ ὀλιγοπιστία ἡμῶν καὶ ἡ ῥαθυμία. εἰ γὰρ νήφοντες προσήειμεν αὐτῷ καὶ ἐξ ὅλης ψυχῆς ἐδεόμεθα αὐτοῦ, προκατελάμβανεν ἂν τὰς εὐχὰς ἡμῶν· ‘ἔτι γάρ’, φησίν, ‘λαλοῦντός σου ἐρῶ· ἰδοὺ πάρειμι’, καί τις δὲ τῶν σοφῶν προτρέπεται λέγων· ‘ἐμβλέψατε εἰς τὰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐπίστευσε τῷ κυρίῳ καὶ κατῃσχύνθη, ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν;’ οὐκοῦν μηδεὶς τῆς βραδυτῆτος ἕνεκεν τοὺς ἁγίους μεμφέσθω· ἀγαθοῦ γὰρ δεσπότου ἀγαθοὶ καὶ οἱ διάκονοι. ἀλλ’ ἑαυτὸν ταπεινούσθω, καὶ ταχέως τῆς ἰάσεως τεύξεται. τοὺς ἰαθέντας οὖν ὑπομίμνησκε συντρέχειν ἐν τῷ καθηγιασμένῳ ναῷ, ἐν ᾧ τῶν δεινῶν ἐλυτρώθησαν· τοὺς ἀσθενοῦντας ἐπὶ τὴν τῶν ἰαμάτων πηγὴν μετὰ πίστεως προσφεύγειν προτρέπου, ἵνα ἐρρωμένοι διὰ τῶν ἁγίων εἰς τὰ ἴδια ὑποστρέφωσιν· τοὺς ὑγιαίνοντας πυκνότερον εἰς τὸν ἡγιασμένον αὐτῶν οἶκον ποίει παραγίνεσθαι, ἀσφάλειαν τῆς σωτηρίας παρ’ αὐτῶν πορίζοντας. οὕτω γὰρ ἅπαντες προστρέχοντες μετὰ πίστεως δυνήσονται καὶ τῶν ἁγίων τοῦ Χριστοῦ θεραπόντων Κοσμᾶ καὶ Δαμιανοῦ τῆς βοηθείας ἐπαπολαῦσαι καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν διὰ τῶν εὐχῶν καὶ πρεσβειῶν αὐτῶν ἐπιτυχεῖν. προσεύχεσθε δὲ καὶ ὑπὲρ ἡμῶν τῶν ταπεινῶν. ἅπαντες οὖν ὁμοθυμαδὸν δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Wunder-serie IV
Wunder 27

περὶ τοῦ τὸν πόδα κλασθέντος

ἀνήρ τις πιστότατος καὶ τῶν ἁγίων τοῦ Χριστοῦ θεραπόντων δοῦλος ἵππῳ φερόμενος καὶ προϊὼν ἀθρόως ἐπὶ ἐδάφους ἠνέχθη, καὶ

26, 74 Jes. 58,9 75 Sir. 2,10

Wunder 27 Hss: P^5 C^2 Titel περὶ τοῦ ἀπὸ τοῦ ἵππου καταχθέντος καὶ τὸν πόδα συντρίψαντος C^2 | 1 θεραπόντων fehlt in C^2 | 2 ἀθρόον C^2 |

συνετρίβη ὁ ποῦς αὐτοῦ ἀπὸ τοῦ γόνατος ἕως κάτω. ὡς δὲ πληγεὶς σφόδρα οἴκαδε παρεγένετο, αὐτὸς μὲν ἐφ' οἷς ἔπαθεν ἀπαραμυθήτως εἶχεν, τοῖς δὲ οἰκείοις οὐ τὸν τυχόντα θρῆνον ἐκίνει. καὶ καλέσας τοὺς ἐπιμελητὰς τῶν τοιούτων νοσημάτων τῆς δεούσης ἐπιμελείας ἠξίου τυχεῖν. τῶν δὲ ἀνδρῶν ἐκείνων τὰ ἀπὸ τῆς τέχνης ἐπιδεικνυμένων καὶ τὸν πόδα καλάμοις τισὶ καὶ τοῖς συνήθεσι κατασφαλίζεσθαι μελλόντων παρεκάλει ὁ πληγεὶς θεοφιλὴς ἀνὴρ ἐγκαταμιγῆναι τοῖς ἐπιφερομένοις τῷ ποδὶ αὐτοῦ βοηθήμασιν ἐκ τῆς κηρωτῆς τῶν ἁγίων τοῦ Χριστοῦ θεραπόντων Κοσμᾶ καὶ Δαμιανοῦ. οὗ δὴ γενομένου γνόντες οἱ ἅγιοι τὴν τοῦ ἀνδρὸς πίστιν φαίνονται αὐτῷ καθ' ὕπνους οἴκαδε ἐν σχήματι τοιῷδε· ἐδόκει γὰρ τοὺς συνήθεις ἰατροὺς ὡς ὀψομένους αὐτὸν μεμηνυκέναι, αὐτὸν δὲ τοῦτο μαθόντα κελεῦσαι μετὰ φωταγωγίας αὐτοὺς πολλῆς εἰσελθεῖν, ὡς δὲ εἰσῆλθον, πληρωθῆναι μὲν ἅπαντα τὸν οἶκον καὶ πᾶσαν αὐτοῦ τὴν κεφαλὴν εὐωδίας. αὐτοὺς δὲ ἱλαρῷ τῷ προσώπῳ καὶ μειδιάματι πυνθάνεσθαι, τίς εἴη ἡ συνέχουσα αὐτὸν νόσος. ὡς δὲ ὁ ἀνὴρ διηγήσατο τὸ ἐκ τοῦ ἵππου πτῶμα καὶ τὴν τῶν ὀστῶν τοῦ ποδὸς συντριβήν, ἐδείκνυεν δὲ καὶ τοὺς περιέχοντας τὸν πόδα δεσμοὺς καὶ ἠθύμει ἐπὶ τῇ καταλαβούσῃ συμφορᾷ, παρῄνουν δὲ αὐτὸν μὴ ἀθυμεῖν, ταχεῖαν ὑποσχόμενοι τὴν θεραπείαν ἐπάξειν. λύσαντες δὲ τοὺς δεσμοὺς καὶ σφραγίσαντες ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ὅλον τὸν πόδα αὖθις παρ' αὐτὸν ἥξειν ἔφησαν τῇ τρίτῃ ἡμέρᾳ καὶ τὰ τῆς θεραπείας πληροῦν. ὡς δὲ ἔμελλον ἀναχωρεῖν, ἐδέετο τῶν ἁγίων ὁ ἀνὴρ μὴ παροφθῆναι παρ' αὐτῶν, λέγειν δὲ αὐτῷ καὶ εἰ θάνατον ἡ συνέχουσα αὐτὸν ἐπάγει νόσος, ἢ εἰς νεῦρον τοῦ ποδὸς πέπονθεν. οἳ δὲ εἰρηκότες μὴ πρὸς θάνατον εἶναι τὴν νόσον μηδὲ νεῦρον πεπονθέναι, συντετρῖφθαι δὲ μόνον τὸν πόδα καὶ μηδὲ τὴν αἰτίαν ἐκ τοῦ ἵππου γεγονέναι, ἀλλ' ἐκ τῆς τοῦ διαβόλου ἐπηρείας, καὶ παρεθάρσυνον τὸν νοσοῦντα, λέγοντες ὅτι καὶ τῶν ἐνδεχομένων καὶ τῶν θᾶττον θεραπευθῆναι δυναμένων ἐστὶν ἡ νόσος, σφραγίσαντες δὲ πάλιν τὸν πόδα ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ καὶ λελυμένα ἄχρι τοῦ ἡμίσους τὰ

---

4 σφόδρα fehlt in C[2] | καὶ vor αὐτὸς zugefügt in C[2] | 5 ἐκίνει] ἐνεποίει C[2] | καὶ] οὖν nach καλέσας C[2] | 7 ἐκείνων fehlt in C[2] | 9 ἀνὴρ fehlt in C[2] | 12 γνόντες] ἰδόντες C[2] | 13 γὰρ] δὲ P[5] | παραγεγονέναι nach ἰατροὺς zugefügt in C[2] | 15 αὐ. πολλ.] τούτους C[2] | 21 δὲ αὐτὸν] οἱ δε ἅγιοι vor παρῄνουν C[2] | 22 ἐπιδέσμους C[2] | 23 τ. κυρίου fehlt in C[2] | αὐτοῦ nach πόδα zugefügt in C[2] | 24 ἔφασαν C[2] | πληροῖν C[2] | 25 ἤμελλον C[2] | 26 λέγειν — νόσος (27)] καὶ ἐπάγει· μὴ πρὸς θάνατον ἡ νόσος C[2] | 27 ἢ εἰς] εἴη ἢ C[2] | μὴ] μηδὲ P[5] | 28 τὴν — πεπονθέναι fehlt in C[2] | συντετρίπται C[2] | 30 καὶ fehlt in C[2] | παρεθάρσυναν C[2] | 31 θᾶττον fehlt in C[2] | δυν.

περὶ αὐτὸν ἀφέντες δεσμὰ ἀναχωρεῖν ἐβούλοντο. τοῦ δὲ ἀνδρὸς ἱκετεύοντος μὴ χωρίζεσθαι αὐτοῦ ἔφησαν μὴ κατὰ τοὺς πολλοὺς τῶν ἀνθρώπων λαλεῖν καὶ ψεύδεσθαι, ἀλλὰ τῶν ἐν αὐτῶν εἶναι, καὶ ὅτιπερ ἂν ἐπαγγείλωνται, πάντως πληροῦσθαι τοῦτο διὰ τῆς τοῦ θεοῦ χάριτος. τῶν δὲ ἁγίων τοίνυν ἀναχωρησάντων καὶ ἡμέρας καταλαβούσης, ἐλθόντες οἱ τοὺς ἐπιδέσμους τῷ ποδὶ περιβαλόντες καὶ θεασάμενοι αὐτὸν τούτων ἐκτὸς καὶ οὐδὲ ἁπλῶς ὡς ἔτυχεν λυθέντα, ἀλλ' ἐμπείρως μάλα καὶ ἀκριβῶς, ἐλογίζοντο ὡς οὐκ ἄν τις τῶν διὰ τῆς πείρας ταύτης ἡγμένων ἐτόλμησεν ἂν τὸν τοιοῦτον ἐπίδεσμον λῦσαι δίχα τῆς παρουσίας αὐτῶν. ἐπυνθάνοντο οὖν παρὰ τοῦ ἀσθενοῦντος, τίς ὁ τοὺς ἐπιδέσμους αὐτῶν ἐπιλύσας, καὶ ὁ ἀνὴρ διηγήσατο αὐτοῖς τὸ ὄναρ. ἔμφοβοι δὲ σφόδρα γενόμενοι οὐκ ἐτόλμησαν τοῦ λοιποῦ τοῦ νοσοῦντος ἅψασθαι εἰρηκότες ὅτι· 'ἔνθα ἡ χεὶρ τῶν ἁγίων ἥψατο, ἡμεῖς ἐπιμέλειαν προσενεγκεῖν οὐ δυνάμεθα.' ἀπαλλαγεὶς τοίνυν τούτων ὁ ἀνὴρ τὴν τῶν ἁγίων περιέμενεν παρουσίαν. οἳ δὲ φθάσαντες κατὰ τὴν τρίτην ἡμέραν καὶ τῇ οἰκείᾳ χάριτι τὰ τῆς θεραπείας προσενεγκόντες ἐκέλευσαν μετὰ τὴν μίαν ἐπὶ τὸ λουτρὸν ἀπελθεῖν. ἡμέρας δὲ καταλαβούσης, χειραγωγούμενος ὑπὸ δύο παιδίων κατέλαβεν τὸ λουτρόν, καὶ τοσαύτη χάρις μετὰ τὸ λούσασθαι παρὰ τῶν ἁγίων συνέδραμεν, ὡς μηκέτι τινὸς ὑποστηρίζοντος αὐτὸν δεηθῆναι, ἀλλ' ἰδίοις ποσὶν ἐλθεῖν οἴκαδε, δοξάζοντα καὶ αἰνοῦντα τὸν θεὸν τὸν τοιαύτην βοήθειαν διὰ τῶν ἁγίων αὐτοῦ θεραπόντων τοῖς ἀνθρώποις παρέχοντα. ὁρᾷς, ἀγαπητέ, πῶς φθάνουσιν τοὺς φιλοῦντας αὐτοὺς οἱ ἁγίοι; ἵνα μόνον μνημονεύσῃ αὐτῶν ὁ ἄνθρωπος, αὐτοὶ πρὸς αὐτὸν παρεγένοντο, καὶ ἃ εἶχον προσδραμόντος τοῦ ἀνδρὸς ἐν τῷ οἴκῳ αὐτῶν τῷ ἁγίῳ χαρίσασθαι, ταῦτα αὐτοὶ διὰ τὴν πίστιν αὐτοῦ προσελθόντες ἐφιλοτιμήσαντο.

θερ. C[2] | 32 *ἐστὶ τὸ νόσιμα* C[2] | *πάλιν* fehlt in C[2] | 34 *περὶ*] *παρ'* P[5] | 35 *ἔφασαν* C[2] | 36 *τῶν ἐν αυτῶν* P[5] *τὸν ἑαυτὸν* C[2] | *ὅτι ἅπερ* C[2] | 37 *ἐπαγγέλλονται* C[2] | *τοῦτο πληρ.* nach *χάριτος* C[2] | *θεοῦ*] *χ̅ῦ̅* C[2] | 38 *δὲ* fehlt in C[2] | 40 *τούτων* fehlt in C[2] | *οὐδε* nach *ἁπλῶς* zugefügt in C[2] | 43 *οὗτος* vor *ὁ* zugefügt in C[2] | 44 *λύσας* C[2] | 47 *τούτου* C[2] | 49 *τὰ τ. θερ.*] *τὴν θεραπείαν* C[2] | 50 *τὴν* fehlt in C[2] | *ἡμέραν* nach *μίαν* zugefügt in C[2] | *τὸ — ἀπελθεῖν*] *βαλανίον ἐλθεῖν* C[2] | 51 *δὲ*] *τῆς δε* vor *ἡμέρας* C[2] | *παίδων* C[2] | 52 *λουτρόν*] *βαλανίον* C[2] | 54 *οἴκαδε* fehlt in C[2] | *κ. αἰν.* fehlt in C[2] | 57 *αὐτῶν*] *αὐτοὺς* C[2] | 58 *πρὸσδραμόντα* C[2] *προδραμόντος* P[5] | *τοῦ — ἐν* fehlt in C[2] | 59 *τῶν ἁγίων* C[2] | *αὐτοὶ*] *αὐτὸν διὰλογίζεσθαι* C[2] | 60 *προσελθ. ἐφιλ.* fehlt in C[2] | *ἀληθῶς. ἀγαθοῦ δεσπότου διάκονοι δαψιλεῖς· τοιαῦτα χαριζόμενοι καὶ τοσαύτας ἐπιτελοῦντες θεραπείας. εν ὀνόματι τοῦ π̅ρ̅ο̅ς̅ καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου π̅ν̅ς̅. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν* nach *ἐφιλοτιμήσαντο*

490 καὶ τοῦτο μὲν τοιοῦτο, γυνὴ δέ τις ἐξ ἐπηρείας κακοῦ δαίμονος ἕλκος τι δεινὸν καὶ λίθου δίκην ἀπεσκληκὸς κατὰ τοῦ μασθοῦ φύσασα καὶ εἰς τὸ χεῖρον φερομένη καὶ μηδεμίαν παραμυθίαν εὑρεῖν δυναμένη, τῶν τε ἰατρῶν βουλευσαμένων ξίφει χρήσασθαι κατὰ τοῦ ἕλκους τῷ μὴ εἴκειν φαρμάκοις, ἀποδειλιάσασα ἡ γυνὴ τὸ πρᾶγμα καὶ θάνατον αὐτὸ λογισαμένη ἔφησεν· 'εἰ ἄρα ἐπὶ χειρουργίαν ἐπικίνδυνον προτρέπεσθέ με, βέλτιον προσφυγεῖν τοῖς ἁγίοις τοῦ Χριστοῦ Κοσμᾷ καὶ Δαμιανῷ.' οἱ δὲ γελάσαντες αὐτῇ εἶπον· 'καὶ ἀπελεύσῃ ἐκεῖ, καὶ πάλιν ὑποστρέψεις τοῦ ἕλκους ἐπὶ τὸ χεῖρον ἐλάσαντος.' καταλείψασα 492 δὲ ὅμως αὐτοὺς φθάνει τὸν οἶκον τῶν ἁγίων προθυμίᾳ πολ|λῇ καὶ πίστει· οἳ ἑωρακότες τὴν τοσαύτην τῆς γυναικὸς σπουδὴν φαίνονται κατ' ὄναρ τῷ συνήθει αὐτῆς ἰατρῷ λέγοντες· 'εἰ θέλεις θεραπεῦσαι τὴν γυναῖκα, ἄπελθε ἐν ᾧ νῦν ἐστιν ἁγίῳ οἴκῳ καὶ τομαῖς χρῆσαι κατὰ τοῦ αὐτῆς μασθοῦ τῷ ἀποδεικνυμένῳ σοι παρ' ἡμῶν τόπῳ.' καὶ γυμνώσαντες τὸν μασθὸν ἔδειξαν αὐτῷ καὶ τοὺς τόπους, ἐν οἷς ἐχρῆν τὰς τομὰς ἐπαγαγεῖν. περιχαράξαντες οὖν εἰρήκασιν· 'ὅταν τὰ τῆς τομῆς ποιήσῃς, σύμπλεξον τῷ δεῖνι τῷ φαρμάκῳ τόδε τι καὶ ἐπίθες κατὰ τοῦ τόπου, ἐν ᾧ δεῖ σοι τῶν τομῶν, καὶ ὑγιασθήσεται.' καὶ τὸν μὲν μασθὸν ὑποδεικνύμενον αὐτῷ παρὰ τῶν ἁγίων ἑώρα καὶ τὰ λεχθέντα αὐτῷ ἀκριβῶς ἠπίστατο· οὐκ ᾔδει δέ, ὅτι ἡ χειρουργία παρὰ τῶν ἁγίων ἐγίνετο. διυπνισθεὶς οὖν ὁ ἀνὴρ ἄπεισι σπουδαίως πρὸς τὴν γυναῖκα κατὰ τὴν πρόσταξιν τῶν ἁγίων τὴν χειρουργίαν ποιησόμενος, καὶ παραγενάμενος εὑρίσκει τὴν γυναῖκα χειρουργηθεῖσαν. θεωρήσας οὖν τὰ σημεῖα καὶ ἐπιγνούς, ὅτι τῶν δειξάντων αὐτῷ καθ' ὕπνον τὸ ἔργον τῆς χειρουργίας ἐστίν, ἐπέθηκε τὸ φάρμακον μόνον, Wunder 28 (26)

---

zugefügt in P^5 || Wunder 28 Hss: $V^3 a^1 m^1 C^2$ 1 τοῦτο — τοιοῦτο] τούτων μὲν τὸ θαύμα τοιούτον· ἕτερον δὲ, οὐκ ἔλαττον τούτου C^2 | τι über τοιοῦτο zugefügt in m^1 | δὲ fehlt in C^2 | κακοῦ fehlt in C^2 | 2 δίκη C^2 | μαστοῦ m^1 | 4 τῷ] τὸ m^1 διὰ τὸ C^2 | 5 τὸ fehlt in C^2 | 6 αὐτὸ] αὐτὸν χρεῖν ἑαυτῇ C^2 | λογιζομένη C^2 | προτρέπεσθαί $V^3 a^1 m^1$ | 7 με] αὐτήν C^2 | φυγεῖν ταύτην καὶ nach βέλτιον zugefügt in a^1 | φυγεῖν $V^3 m^1$ | αὐτὴν nach προσφυγεῖν zugefügt in C^2 | τ. Χρ. fehlt in C^2 | 8 αὐτῇ fehlt in C^2 | ἐκεῖ ἀπελεύσει C^2 | 9 σου nach ἕλκους zugefügt in C^2 | 10 ὅμως fehlt in C^2 | 11 οἳ] δὲ οἱ ἅγιοι nach ἑωρακότες C^2 | 13 τομῶς C^2 | 14 μαστοῦ $V^3 m^1$ | ὑποδεικνυμένω C^2 | τόπῳ] τρόπῳ a^1 | καὶ fehlt in C^2 | 15 μαστὸν $V^3 m^1$ | ἔδειξαν — τόπους fehlt in C^2 | ἐν ὧ χρὴ C^2 | 16 ἐπάγην C^2 | περιχαράξαντες — σύμπλεξον (17)] ἐπιθεὶς C^2 | 17 τῷ vor φαρμ. fehlt in C^2 | τόδε — ἐπίθες] καὶ τῶδε C^2 | 18 ἐν — τομῶν fehlt in C^2 | ὑγιασθήσεται] ἰαθήσεται C^2 | 19 μαστὸν $V^3 m^1$ | αὐτὸν C^2 | ἑώρα — ἐγίνετο (21)] ἐστὶν καὶ τὸ λεγόμενον ἐπεφέρετο C^2 | 21 ἐγένετο a^1 | οὖν] δὲ C^2 | ἄπεισι — παραγενάμενος (23)] καὶ πορευθὴς κατὰ τὴν τῶν ἁγίων πρόσταξιν τῶ γυναίω τὴν χειρουργίαν ποιήσαι· ὦ τοῦ θαύματος C^2 | 24 τῶν — ἔργον (25)] τὸν ὑποδειχθέντα αὐτῶ τόπον C^2 | 25 αὐτὸς vor ἐστίν zugefügt in C^2 | ἔθηκε C^2 | μόναν

ὅποι ἔταξαν αὐτῷ, καὶ τελείως ἀπεκατέστη ὁ μασθὸς ὑγιὴς τῆς γυναι- |κός. ὁρᾶτε ὅσα μετὰ τῆς τῶν ἁγίων χάριτος ἡ πίστις δύναται; ὅταν 494
γὰρ αὐτὴ εἰλικρινὴ ᾖ, ὅσα θέλει δύναται. μηδεὶς οὖν ἀσθενῶν καὶ τοῖς ἁγίοις προσφεύγων ἀπογινωσκέτω τῆς οἰκείας σωτηρίας, μᾶλλον δὲ πιστευέτω, καὶ ταχέως τῆς ἰάσεως τεύξεται. μεγάλα γὰρ ὁ θεὸς διὰ τῆς τῶν ἁγίων χάριτος Κοσμᾶ καὶ Δαμιανοῦ παρέσχεν τῷ τῶν ἀνθρώπων γένει.

Wunder 29 ἑτέρα πάλιν γυνὴ ἐν πρώτοις τεκοῦσα καὶ τὰ μητέρων ἀγνοοῦσα τὸν μασθὸν ἤλγησεν ἀποπαγέντος τοῦ γάλακτος ἐν αὐτῷ. καρτεροῦσα δὲ ἐφ' ἱκανὰς ἡμέρας καὶ προσδοκῶσά τι χρηστότερον ἀπαντῆσαι, ἅμα δὲ καὶ ἐρυθριῶσα δεῖξαι ἑαυτὴν ἰατροῖς, ηὔξησε τὸ νόσημα ὑψωθέντος τοῦ μασθοῦ. ὡς οὖν οὐκέτι τὰς ὀδύνας φέρειν ἠδύνατο, ὀψέ ποτε ἦλθεν ἐπὶ ἰατρούς. οἳ δὲ θεωρήσαντες ἐξ ἀμελείας τὸν μασθὸν κατεργασθέντα ἐπὶ χειρουργίαν ὥρμων, λέγοντες μὴ ἄλλως δύνασθαι τοῦ πάθους περιγενέσθαι, εἰ μὴ διὰ ξίφους. ὡς δὲ ὁ ἀνὴρ αὐτῆς οὐκ ἠνέσχετο (τὸ γὰρ μέλος συμπάσχει τῷ μέλει) καὶ ἡ γυνὴ πλέον ἀπενεκρώθη περὶ ξίφους ἀκούσασα, ἐνταῦθα πάλιν οἱ ἅγιοι τοῦ Χριστοῦ θεράποντες Κοσμᾶς καὶ Δαμιανὸς ἐπεζητοῦντο, καὶ ἀφήσασα τοὺς ἰατροὺς ἡ νοσοῦσα καταλαμβάνει τὸν ἡγιασμένον

29, 9 1. Kor. 12,26

fehlt in C^{2} | 26 ὅπου a^{1} m^{1} ὃ προς C^{2} | αὐτῷ] οἱ ἅγιοι C^{2} | μαστὸς V^{3} m^{1} | ὑγιὴς] fehlt in a^{1} nach γυναικός C^{2} | 27 ὁρᾶτε — δύναται (28)] ἡ γὰρ πίστις ὅταν αὐτὴν τίς οἴσει καθαρὰν, καὶ ὄρη δύναται μεθηστάν C^{2} | 28 αὔτη m^{1} | 30 ταχὺ C^{2} | τεύξηται V^{3} m^{1} λαμβανέτω C^{2} | 31 τὸ τ. ἀνθρ. γένος m^{1} | 32 ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν nach γένει zugefügt in V^{3} ᾧ ἡ δ. κ. τ. κρ. νῦν καὶ ἀεὶ καὶ εἰς τ. αἰ. in m^{1} || Wunder 29 Hss: C^{12} P^{7} b Titel ἕτερον θαῦμα τῶν ἁγίων κοσμᾶ καὶ δαμιανοῦ C^{1} | 1 ἑτ. πάλ. fehlt in C^{1} | τίς nach γυνὴ zugefügt in C^{1} | 2 τοῦ fehlt in C^{1} | αυτῇ C^{1} ἀὐτοῖς b | 3 δὲ ἐφ'] γὰρ διὰ b | πρὸσδοκούσα C^{1} | χρηστὸν b | ἀπαντήσει b ἀπαντήσοι P^{7} ἀπαντήσεσθαι C^{2} | 4 ἑαυτὴν] vor δεῖξαι C^{1} ἑαυτὸν P^{7} aus ἑαυτὸν verb. in b αὐτὼ C^{2} | ηὔξανεν C^{1} ηὐξίθη C^{2} | καὶ vor τὸ zugefügt in b | ὑψωθέντος — ποτε (6)] ὑποσιθέντος οὖν αὐτῇ τοῦ ἀνδρος ἅμα δὲ καὶ τὰς ὀδύνας μὴ φέρουσα C^{2} | ὑφ. τ. μ.] fehlt in P^{7} οὐγροποιηθέντος τ. μ. C^{1} | 5 ὡς οὖν fehlt in C^{1} | φέρειν] οὐκ C^{1} φέρ. οὐκ b | εδύνατο C^{1} | 6 ὀψέ — ἰατρούς] ἰατρ. προσεκαλέσατο P^{7} | 7 μαστὸν P^{7} | ὅρμουν C^{2} | 8 τοῦ — περιγενέσθαι fehlt in b | περὶγίνεσθαι C^{1} | ὡς — ὁ] ὁ δε C^{2} | 9 μέλος] μέλισμα C^{1} πάσχει C^{1} εἴωθε συμπάσχειν P^{7} συμπάσχειν b | τ. μέλει] τὸ μέλος C^{1} b | ἀνάγκη nach μέλει zugefügt in b | καὶ — οἶκον (13)] εἰς μνήμην τῶν ἁγίων ἦλθον· καὶ ἀφέντες τοὺς ἰατροὺς. ἡ γυνὴ τὸν ἱερὸν οἶκον τῶν τοῦ χῦ θεραπόντων καταλαμβάνει P^{7} | καὶ] fehlt in b δε nach ἡ C^{2} | 10 πλεῖον b | π. ξίφ.] τοῦ ξίφους C^{2} τὸ ξίφος b | κἀνταῦθα C^{1} b ἐντεύθεν C^{2} | πάλιν fehlt in C^{1} | 11 τ. Χρ. θερ. fehlt in C^{2} θερ. in b | 12 τοὺς fehlt in C^{2} | καταλαμβάνει — οἶκον (13)] τῷ οικῷ (von 2. Hand Spir.

αὐτῶν οἶκον. καὶ διὰ τῆς νυκτὸς φαίνονται κατ' ὄναρ οἱ ἅγιοι τῷ αὐτῆς ἀνδρὶ ὡς ἐν σχήματι τῶν ἰατρῶν λέγοντες· 'οἶδας ὅτι σήμερον χειρουργεῖται ἡ γαμετή σου;' ὁ δὲ πρὸς αὐτούς· 'μὴ κύριοι, τοῦτο γὰρ φυλαττόμενος ἔπεμψα αὐτὴν πρὸς τοὺς ἁγίους, ὡς καὶ ὑμεῖς οἴδατε, ἵνα μὴ ἅψηται αὐτῆς ξίφος· οὐδὲ γὰρ δύναται ὑπενεγκεῖν.' καὶ ἀφέντες αὐτὸν ἦλθον κατ' αὐτὴν τὴν νύκτα πρὸς τὴν γυναῖκα καὶ λέγουσιν αὐτῇ· 'εἰ θέλεις ἀπαλλαγῆναι τῆς νόσου, λάβε κέγχρον καὶ διαθέρμανον καὶ ἐπίθες τῷ τόπῳ τῷ πάσχοντι, καὶ ἰαθήσῃ.' ἡμέρας τοίνυν καταλαβούσης ἐπέτρεψεν ἐνεχθῆναι αὐτῇ κέγχρον· καὶ ἀναστᾶσα προσεύξασθαι ὁρᾷ τὸν μασθὸν ῥαγέντα καὶ ἐκδιδόντα τὸ ἐναποκείμενον ὑγρόν. καταλαβοῦσα δὲ τὸ κλινίδιον αὐτῆς καὶ τὸ ὑγρὸν κενώσασα καὶ καθαρίσασα τὸ ἕλκος ἐπέθηκε τὴν κηρωτὴν τῶν ἁγίων, καὶ ἐπιμείνασα ταύτῃ ἀπεκατέστησεν τὸν μασθὸν ὥσπερ τὸν ἄλλον. καὶ πληρώσασα τὰς εὐχὰς αὐτῆς ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτῆς, δοξάζουσα τὸν θεὸν καὶ τοὺς ἁγίους καὶ διηγουμένη πᾶσιν τὴν ἀνώδυνον τῶν ἁγίων θεραπείαν.

περὶ τοῦ τὴν σύριγγα ἔχοντος

Wunder 30

ἕτερός τις ἀνὴρ ἐπιεικὴς σφόδρα, σύριγγα ἐσχηκὼς ἐν τῇ κοτύλῃ καὶ πολλαῖς χρησάμενος θεραπείαις, ὑποβαλὼν δὲ ἑαυτὸν καὶ τοῖς ξίφεσι τῶν ἰατρῶν ἐπὶ ἐνιαυτούς τε δεκαπέντε ταλαιπωρήσας ἐν τῷ πάθει καὶ νικηθεὶς ὑπ' αὐτοῦ, πλέον ηὔξησε τὸ νόσημα, τετραστόμου τούτου γενομένου καὶ ἀφιέντος τὸ ἐναποκείμενον ῥεῦμα, πολλάκις δὲ καὶ τοῦ παραπεμπομένου τῷ σώματι ποτοῦ ἐκεῖθεν ἀπορρέοντος. τῶν τε

---

asper u. Akut auf οι gesetzt) τῶν ἁγίων πρόσησι C^{2} | 13 αὐτῶν fehlt in b | αὐτῇ nach φαίνονται zugefügt in C^{2} | καὶ vor τῷ zugefügt in C^{2} | 14 ἑαυτῆς C^{2} b | 15 γαμετή] γυνή P^{7} b | ἔφη nach αὐτούς zugefügt in C^{1} | μου nach κύριοι zugefügt in C^{2} | 16 αὐτὸν C^{2} | πρὸς] εἰς C^{1} | κοσμᾶν καὶ δαμιανόν nach ἁγίους zugefügt in P^{7} | mit οἴδατε schließt C^{1} | 17 οὐδὲ] οὐ C^{2} | 19 τ. νόσου fehlt in C^{2} | 20 τῷ πάσχοντι τόπῳ P^{7} | ἰαθήσει C^{2} ἰαθῃ mit σ über dem η b ἰαθήσεται P^{7} | 21 τῆς vor ἡμέρας zugefügt in P^{7} γὰρ nach ἡμέρας in b | 24 καθάρασα P^{7} καθαρϊσθῆσα b | τὰ ἕλκει C^{2} | ἐπέθηκεν ἀπὸ τῆς κηρωτῆς C^{2} | 25 ταύτῃ] αὕτη P^{7} | ὑγϊὴ nach μασθὸν zugefügt in b | ὥσπερ] ὡς καὶ b | 26 τ. εὐχ. αὐ. πληρ. P^{7} | ἀπῆλθεν — αὐτῆς fehlt in b | 27 δοξάζουσα — θεραπείαν (28)] καὶ διηγεῖτο πᾶσιν τὴν ἀνόδυνον θεραπείαν τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων δοξάζουσα καὶ αἰνοῦσα πρ͞ά υἱὸν καὶ πν͞ά ἅγιον· τὴν μίαν θεότητά τε καὶ βασιλείαν· ἣ πρέπει πᾶσα δόξα· τιμὴ καὶ πρόσκύνησις· νῦν καὶ εἰς ατελευτήτους αἰῶνας ἀμήν P^{7} | καὶ vor διηγ.] αὐτοῦ κοσμᾶν καὶ δαμιανὸν b | πᾶσιν fehlt in b | 28 τ. ἁγίων] αὐτῶν b | εἰς δόξαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν nach θεραπείαν zugefügt in b || Wunder 30 Hss: P^{5} v C^{2} die Konzilakten: (c) Titel fehlt in C^{2} c | 1 συρίγγια C^{2} | 2 τῶν ἰατρῶν nach θεραπείαις zugefügt in c | ὑπέβαλλον αὐτὸν C^{2} | 3 τε fehlt in C^{2} | 6 τοῦ fehlt in v |

ἰατρῶν ἀπειρηκότων καὶ κυριεύεσθαι αὐτὸν ὑπ' αὐτοῦ καὶ μὴ εὑρίσκεσθαι ἀνθρώπου χεῖρα δυναμένην βοηθῆσαι τῷ πάθει, ἀπέγνω λοιπὸν ἑαυτοῦ ὁ ἀνὴρ καὶ συνεβουλεύθη παρὰ πολλῶν καταλαβεῖν τὸν τῶν ἁγίων τοῦ θεοῦ θεραπόντων Κοσμᾶ καὶ Δαμιανοῦ ἡγιασμένον οἶκον. καὶ τοῦτο ποιῆσαι βουλόμενος (πολύβουλον γὰρ ἡ ἀνάγκη) θεωρεῖ τοὺς ἁγίους καθ' ὕπνον λέγοντας αὐτῷ· 'δεῦρο πρὸς ἡμᾶς, καὶ ἰαθήσῃ.' ὅθεν θαρσήσας τῇ προτροπῇ τῶν ἁγίων καταλαμβάνει τὸν πάνσεπτον καὶ ἔνδοξον αὐτῶν οἶκον καὶ καθ' ἑκάστην δυσωπῶν αὐτοὺς οὐκ ἐνεδίδου ἀπαλλαγῆναι τοῦ πάθους. ὡς δὲ ἐπέμενεν χρόνον ἱκανὸν καὶ οὐδεμιᾶς ἐτύγχανεν ἐπισκέψεως, τέλος ἐξελθὼν ἐν τῷ ὑπαίθρῳ τῷ προσπαρακειμένῳ τῷ οἴκῳ τῶν ἁγίων καὶ βλέψας εἰς τὴν εἰκόνα τοῦ σωτῆρος τὴν ἀνακειμένην ἐν τῇ κατὰ τὴν δεξιὰν στοᾷ (γέγραπται δὲ ἐν αὐτῇ ἥ τε ἁγία Μαρία ἡ θεοτόκος καὶ οἱ ἅγιοι θεράποντες τοῦ Χριστοῦ Κοσμᾶς καὶ Δαμιανὸς καί τις τῶν μεγάλων ἀνδρῶν, Λεόντιος τοὔνομα) δεήσεις ἐκτενεῖς ποιούμενος καὶ κλαύσας πικρῶς ἐπὶ ὥρας πολλὰς καὶ δυσωπήσας τοὺς ἁγίους ἀπῆλθεν ἐν τῷ τόπῳ τῆς κοίτης αὐτοῦ. καὶ θεωρεῖ διὰ τῆς νυκτὸς ἐρχομένους πρὸς αὐτὸν τοὺς θεράποντας τοῦ Χριστοῦ Κοσμᾶν καὶ Δαμιανὸν μέσον ἔχοντας τὴν κεχαριτωμένην παρθένον καὶ λέγουσαν αὐτοῖς· 'ἰδὲ οὗτός ἐστιν ὁ νοσῶν· βοηθήσατε αὐτῷ διὰ τάχους.' ἤκουσε δὲ τῶν ῥημάτων τρανῶς λεγομένων ὁ ἄνθρωπος. αὐτῆς δὲ ἀναχωρησάσης ἔλαβον αὐτὸν οἱ ἅγιοι ταῖς χερσὶ δῆθεν βαστάσαντες καὶ ἀπήγαγον ἐν τῷ προσπαρακειμένῳ ξενῶνι. καὶ πρὸς τὸ ἰατρεῖον τοῦ ξενῶνος αὐτὸν ἐνέγκαντες, ἔνθα ἡ τῶν φαρμάκων ἐστὶ θήκη, καὶ ἀποθέμενοι εἰς τοὺς ἐκεῖσε κειμένους σκίμποδας πλησίον τῆς συγκλειούσης τὴν τῶν φαρμάκων φυλακὴν κιγκλίδος χειρουργεῖν ἤθελον. τοῦ δὲ νομίσαντος τοὺς συνήθεις ἰατροὺς πάλιν ἐπὶ χειρουργίαν αὐτὸν ἄγειν, ἐκώλυεν ὀμνὺς

---

7 εἰρηκότων c | κ. κυρ.] κεκυριεῦσθαι c | 8 δυναμένην fehlt in v | ἑαυτοῦ fehlt in C^2 | 10 τοῦ — οἶκον] ναόν C^2 | 11 πολύβουλος c | 12 ὕπνους P^5 C^2 | 13 ὅθεν] τοίνυν nach θαρσήσας C^2 c | πάνσ. καὶ fehlt in C^2 c | 15 ἱκανὸν fehlt in C^2 c | 16 ὑπερθύρῳ c | 17 παρακειμένω C^2 | τὴν — στοᾷ (18)] τὸ ὕψος τὴν ἀνακειμένην κατὰ τὸ δεξιὸν στοάν C^2 | 18 τῇ δεξιᾷ P^5 v τὸ δεξιὸν c | ἐγγέγραπται C^2 | 19 δὲ] γὰρ C^2 | ἥ τε — Δαμιανὸς (20)] ἡ τῆς πανάγνου παρθένου σεβασμία εἰκὸν, καὶ τῶν ἁγίων κοσμὰ καὶ δαμιανοῦ C^2 | ἁγία Μ. ἡ] die Worte erster Hand getilgt, dafür von zweiter Hand des XIV/XV Jh πανύμνητος κυρία und von derselben Hand am Rande καὶ in v | 21 ποιησάμενος c | καὶ fehlt in C^2 | 22 εἰς τὸν τόπον C^2 | 23 θεωρεῖ] ὁρᾷ C^2 | 24 θερ. τ. Χρ.] ἁγίους C^2 | μέσην c | 25 ἰδοῦ C^2 | ὁ νοσῶν fehlt in C^2 c | 26 mit τάχους bricht c ab | ἤκουε C^2 | 27 λεγομένων] αὐτῶν vor τρανῶς (26) C^2 | 28 αὐτὸν nach βαστάσαντες zugefügt in C^2 | παρακειμένω C^2 | 29 ἐνεγκόντες P^5 | 30 ἐστὶ — κιγκλίδος (32)] φυλακὴ C^2 | 32 ἤθελον] ἠβούλοντο C^2 | 33 εἶναι καὶ nach ἰατροὺς zugefügt

μὴ συγχωρεῖν αὐτοὺς τοῦτο ποιεῖν διὰ τὸ τοῖς ἁγίοις προσπεφευγέναι καὶ μηκέτι χρείαν ἔχειν χειρουργίας. ὡς δὲ ἐπειρᾶτο λοιπὸν ὁ ἅγιος Κοσμᾶς, ὁ τῆς ἐκκλησίας κόσμος, τεμεῖν τὸ ἕλκος, ὁ ἅγιος Δαμιανός, ὁ δαμάζων τὰς νόσους, συνεῖχεν τὸν ἄνθρωπον αὐτός τε πρὸς τὴν χειρουργίαν ἀπεστασίαζεν. ἔφη ὁ ἅγιος Κοσμᾶς· ‘ἐπίσχες, ἐγὼ ἄρτι ποιῶ αὐτὸν σιωπῆσαι.’ καὶ ἐμβαλὼν αὐτοῦ τοὺς δύο πόδας ἀνὰ μέσον τοῦ δικτυώματος τοῦ καγκέλλου καὶ ἐπισφίγξας, τεθεικὼς αὐτὸν ἐν τῷ σκάμνῳ καὶ λαβὼν τὸ ξίφος ἐχειρούργησεν αὐτὸν βοῶντα. τὸ δὲ πλάτος τῆς γενομένης χειρουργίας ἦν ὅσον τὸ διῆκον μεταξὺ δύο δακτύλων χειρὸς ἀνθρώπου. ὡς δὲ πᾶσαν ῥίζαν τοῦ πάθους ἐξέτεμον καὶ καθαρὸν τὸν τόπον ἐπέδειξαν, κατησφαλίσαντο δεσμοῖς πυκνοτέροις τὸν τόπον, μηδὲν αὐτῷ ἐπιθέντες. ὁ δὲ νοσῶν φησι πρὸς αὐτούς· ‘ἰδοὺ ἐχειρουργήσατέ με· ἀπόθεσθε ξαντὰ μετὰ μέλιτι βρέξαντες, ἐπειδὴ οὕτως ἡ τέχνη βούλεται. λοιπὸν γὰρ ἡ χρονία νόσος καὶ αἱ συνεχεῖς χειρουργίαι ἐδίδαξάν με ταῦτα.’ οἱ δὲ ἅγιοι πρὸς αὐτόν· ‘σὺ ἡμᾶς διδάσκεις ἰατρεύειν; ἀνάσχου τῆς θεραπείας, κατὰ λόγον γὰρ θεραπεύῃ.’ ἐπιμελησάμενοι τοίνυν αὐτοῦ ἤνεγκαν δῆθεν ἀπὸ τοῦ ξενῶνος καὶ πάλιν ἀπέθεντο ἐν τῇ κοίτῃ αὐτοῦ. καὶ ὅρα λοιπὸν τῶν ἁγίων τὴν δύναμιν· διυπνισθεὶς γὰρ ἑώρα δεσμοὺς ἔχοντα τὸν τόπον, ψηλαφῶν δὲ αὐτὸν καὶ πολυπραγμονῶν οὐδὲν εὕρισκεν ἐπικείμενον, ἀλλὰ γυμνὸν ἐκράτει τὸν τόπον. διακαρτερήσαντος δὲ αὐτοῦ ἐπί τινας ἡμέρας καὶ φθασάσης τῆς παννυχίδος τῷ σαββάτῳ καὶ τῆς κηρωτῆς ὡς περὶ ὥραν ἕκτην τῆς νυκτὸς τῷ λαῷ διαδοθείσης, αὐτὸς ἔκειτο καθ᾽ ἑαυτὸν μὴ βουλόμενος λυμήνασθαι τῷ ἕλκει. περὶ δὲ ὥραν ἐνάτην τῆς αὐτῆς παννυχίδος ὕπνῳ κατενεχθεὶς θεωρεῖ τοὺς ἁγίους ἐνέγκαντας αὐτῷ ῥάκιον πεπληρωμένον τῆς κηρωτῆς καὶ ἄραντας μὲν τοὺς δεσμούς, ἐπιθέντας δὲ αὐτῷ τὸ παννίον. ἐπιτεθὲν δὲ φοβερὰν αἴσθησιν ἐνεποίει τῷ τόπῳ, ἕλκον ἀπὸ παντὸς μέρους καὶ κατασῦρον τὴν νόσον ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ποδῶν καὶ συνάγον ἐν τῷ τόπῳ τῆς χειρουργίας. καὶ τοσαύτην συνήγαγεν ἕως πρώτης ὥρας τῆς ἡμέρας ὁ τόπος σαπρίαν, ὡς δὶς καὶ τρὶς τὴν χεῖρα πληρώσαντα οὕτως

---

in C^2 | 34 *αὐτοῖς* v | *τὸ*] *τούτο* C^2 | *πρὸσέφυγων* C^2 | 36 *ὁ — κόσμος* fehlt in C^2 | 37 *ὁ — νόσους* fehlt in C^2 | *τε — χειρουργίαν* (38)] *δὲ* C^2 | 38 *Κοσμᾶς*] *δαμιανός* C^2 | *ἄρτι ἐγὼ* C^2 | 40 *τεθηκὸς* C^2 | 42 *γενομένης*] fehlt in P^5 *γινομένης* C^2 | 43 *χειρὸς* fehlt in P^5 | 44 *ἀπέδειξαν* C^2 | 45 *ἐπιθ. αὐ.* v | *ὁ — φησι*] *τότε φησὶν* C^2 | 46 vielleicht *ἐπίθεσθε* | *ξαντὰ μ.*] *ποτὰ* C^2 | 47 *οὕτως ἡ*] *ὁ ὑπο* C^2 | *βουλεύεται* C^2 | *ἡ συνεχεῖς χειρουργεία, ἐδείδαξέν* C^2 | 49 *θεραπείας*] *ἰατρείας* C^2 | *θεραπεύει* C^2 | 51 *λοιπὸν* fehlt in C^2 | 52 *ὁ ἀνὴρ* nach *γὰρ* zugefügt in C^2 | 54 *ἐπὶ* fehlt in C^2 | *ἡμ. τιν.* C^2 | 57 *τὸ ἕλκος* C^2 | 58 *ἐννάτην* C^2 | *νυκτὸς τὲ καὶ* vor *παννυχίδος* zugefügt in C^2 | *θεωρεῖ*] *ὁρᾷ* C^2 | 59 *ἁγίας* vor *κηρωτῆς* zugefügt in C^2 | *ἄραντες* C^2 | 60 *ἐπιθέντες* C^2 | *τὸ* fehlt in C^2 | *ἐπιτεθὲν δὲ*] *καὶ δείσαντες* C^2 | 61 *μέλους* C^2 | 63 *τῆς*

δυνηθῆναι καθᾶραι τὸν τόπον. καὶ θεωρεῖ πάλιν τὸ μὲν ῥάκιον μετὰ τῆς κηρωτῆς ἐπικείμενον, τῇ δὲ ἁφῇ μὴ ὑποπίπτον, ἀλλὰ γυμνὸν ψηλαφᾶσθαι τὸν τόπον. ὅθεν τῇ ἐπιμονῇ τῆς κηρωτῆς τῶν ἁγίων χρησάμενος οὕτως διὰ τῆς τοῦ θεοῦ εὐσπλαγχνίας καὶ τῆς τῶν ἁγίων ἐπισκέψεως περιεγένετο τοῦ πάθους, εἰς τέλος παραγγελίας εἰληφὼς παρὰ τῶν ἁγίων, μὴ ἀναχωρήσειν τῆς ἁγίας αὐτῶν αὐλῆς ἄχρις ἐνιαυτῶν ἕξ· οὗσπερ καὶ ἐφύλαξεν. ὡς δὲ λοιπὸν παρρησίας τῶν ἁγίων μετέλαβεν, παρεκάλει γνωρισθῆναι αὐτῷ, εἰ τοσαύταις περιπεπτώκει ἁμαρτίαις, ὡς ἐν τοσούτοις ἔτεσιν τῇ τοιαύτῃ νόσῳ καταταχῆναι. τῶν δὲ ἁγίων ἀντεπερωτησάντων αὐτῷ, τί αὐτὸς ὑπολαμβάνει, ἀποκρίνεται τοῦ ἐκ τοῦ οὐρανοῦ πεσόντος τὸ ἔργον τοῦτο εἰς αὐτὸν γεγονέναι. ἀπεκρίναντο οὖν οἱ ἅγιοι οὕτως εἶναι. τοῦτον τοίνυν τὸν τρόπον ἰαθεὶς ὁ ἀνὴρ καὶ τὰς εὐχὰς αὐτοῦ πληρώσας ἔμεινεν μέχρι τοῦ παρόντος πλησίον τῶν ἁγίων τὴν οἴκησιν ἔχων. καὶ ἀποταξάμενος τοῖς αὐτοῦ πᾶσιν προτιμοτέραν πάντων τὴν τῶν ἁγίων τοῦ Χριστοῦ θεραπόντων ἀντίληψιν ἐποιήσατο. ὅθεν οὐ διέλιπεν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ αἰνῶν καὶ δοξάζων τὸν κύριον καὶ τοὺς ἁγίους αὐτοῦ θεράποντας Κοσμᾶν καὶ Δαμιανόν.

Wunder 31 ἕτερός τις ἀνὴρ εὐλαβής, κατὰ θεὸν ζῶν καὶ πολλὴν πρόνοιαν τῆς ψυχῆς ποιούμενος, ἀνερχομένου τινὸς πτωχοῦ ἀδυνάτου τοῖς ποσὶν καὶ μὴ δυναμένου τὸ σύνολον βαδίσαι μήτε ταῖς ἰδίαις χερσὶν χρήσασθαι, ἀλλὰ κειμένου ὡς ξύλου ξηροῦ, τοῦτον ἤγαγεν ἐν τῷ οἴκῳ τῶν ἁγίων καὶ παρεκάλει βλέψαι εἰς αὐτόν. ὡς δὲ ἐπέμενεν τῇ παρακλήσει, ἤκουσαν τῶν εὐχῶν αὐτοῦ οἱ ἅγιοι καὶ τὰς μὲν χεῖρας τελείως ἰάσαντο, τοῖς δὲ ποσὶν τὸ τελείως βαίνειν οὐκ ἐχαρίσαντο, ἀλλ' εἴασαν ῥάβδῳ χρῆσθαι καὶ μὴ δεῖσθαι τοῦ φέροντος καθὰ πρώην. εἰληφὼς τοίνυν τὴν χάριν ταύτην παρὰ τῶν ἁγίων ὁ ἀνὴρ ἐπέμενεν δυσωπῶν πάλιν τῆς τελείας τοῦτον ἀξιωθῆναι ὑγείας· οἱ δὲ τοῦ Χριστοῦ θεράποντες ἐπιστάντες εἶπον αὐτῷ· 'τὰ συμφέροντα ζήτει μόνον, ἐπεὶ μὴ οἶδας τὰ μέλλοντα· ἀρκεῖ αὐτῷ ἡ μετὰ τῆς ῥάβδου τῶν ποδῶν ἐπίβασις διὰ τῶν σῶν εὐχῶν χαρι-

30, 75 Jes. 14,12

ἡμ. fehlt in C² | 67 ὅθεν] τοίνυν nach ἐπιμονῇ C² | 68 θεοῦ εὐσπλ.] χ̅ῦ̅ χάριτος C² | 69 παραγγελίαν C² | 71 οὗσπερ] ὅπερ C² | 72 περιπέπτωκεν C² | 73 καταταχῆναι] κατακεῖσθαι C² | 74 αὐτῷ] αὐτὸν P⁵ | ἀπεκρίνατο C² | 76 οὖν — ἅγιοι] καὶ οἱ ἅγιοι vor ἀπεκρίναντο C² | τούτω τοίνυν τῷ τρόπω C² | 79 αυτοῦ ν ἑαυτοῦ C² | 80 ὅθεν — Δαμιανόν (82)] γέγραπται δὲ ταῦτα ἐν τῷ οἴκω τῶν ἁγίων· ἐν τῇ ἐξευονύμω στοᾷ· ἐπάνωθεν τῆς εἰσόδου τοῦ διακονικοῦ· καὶ ἔστιν ἀκριβέστερον ἐν τῇ γραφῇ κατανοῆσαι C² || Wunder 31 Hs: C² 8 ἴασαν |

σθεῖσα αὐτῷ, καὶ πλέον τούτου ζήτει μηδέν. οὕτως γὰρ οὖν μᾶλλον εὐαρεστήσει τῷ θεῷ'. ὁρᾷς, ἀγαπητέ, τὰ παρὰ τῶν ἁγίων γινόμενα θαύματα πρὸς τὸ συμφέρον ἑκάστῳ διδόμενα; μὴ θαυμάζωμεν οὖν χρονίζοντες ἐν τῷ οἴκῳ τῶν ἁγίων μηδὲ δυσφορῶμεν τῆς θεραπείας βραδυνούσης· πάντα γὰρ πρὸς τὸ δέον οἰκονομεῖται. οὐ γὰρ οἱ ἅγιοι τῆς βραδυτῆτος αἴτιοι, ἀλλ' ἡμεῖς οἱ μὴ πίστει προστρέχοντες τοῖς ἁγίοις. οὐδὲ γὰρ ὡς ἀδυνατοῦντες βοηθῆσαι τελείως τινὰς τῶν ἀσθενούντων ἐναφῆκαν ταῖς νόσοις, ἀλλὰ βουλόμενοι διὰ τούτων βελτίονα τὴν ψυχὴν ἀπεργάσασθαι. σῳζέσθω γὰρ ψυχή, καὶ μυριάκις τὸ σῶμα ἀλγείτω· ὅσῳ γάρ, φησίν, ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. οὐδὲν ἁπλῶς καὶ ὡς ἔτυχεν παρὰ τῶν ἁγίων γίνεται, οἰκονόμοι γάρ εἰσι θείων χαρισμάτων. εἰ γὰρ βασιλικά τις πράγματα ἐγχειρισθεὶς οὐκ ἂν αὐτοῖς χρήσαιτο κακῶς διὰ τὸν τοῦ βασιλέως φόβον, μᾶλλον δὲ διὰ τὸ συνειδός, πολλῷ μᾶλλον ὁ τὰ θεῖα ἐμπιστευμένος ἐκεῖνα πράξει, ἃ ἀεὶ τὸν θεὸν θεραπεύει. μὴ τοίνυν ὑπολάβῃ τις σωμάτων θεραπείας παρὰ τοῦ θεοῦ ἐμπιστευθῆναι τοῖς ἁγίοις μόνον, ἀλλὰ καὶ πολλῷ μᾶλλον ψυχῶν. ὅταν οὖν κακῶς διακειμένην εὕρωσιν οἱ ἅγιοι τὴν ψυχήν, μαστίζεται δὲ αὕτη μετ' ἀφειδοῦς διὰ τοῦ σώματος καὶ βελτίων γίνεται, ἀλλ' ἐπιμένει τοῖς ἁμαρτήμασιν, ἐπίμονον τὴν νόσον πρὸς διόρθωσιν τῆς ψυχῆς συγχωροῦσιν γενέσθαι. οὕτως Ὑμέναιον καὶ Ἀλέξανδρον ὁ Παῦλος τῷ σατανᾷ παρέδωκεν, ἵνα παιδευθῶσιν μὴ βλασφημεῖν, τὴν σάρκα διὰ τοῦ δαίμονος πλήξας, ἵνα τὰς ψυχὰς αὐτῶν σώσῃ· οὕτως τὸν πεπορνευκότα Κορίνθιον τῷ σατανᾷ παρέδωκεν, ἵνα τὸ πνεῦμα αὐτοῦ σώσῃ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὕτως τὸν Ἐλύμαν ἐτύφλωσεν πρὸς βραχύ, ἵνα καὶ αὐτὸν βελτίονα ποιήσῃ καὶ τὸν ἀνθύπατον ἐξαρπάσῃ τοῦ διαβόλου.

Wunder 32

καὶ ταῦτα μὲν εἰς τοσοῦτο, ἕτερος δέ τις ἀνὴρ σχολαστικός, ἀπόστημα ἐν τοῖς πλησιάζουσι τῇ ἀκοῇ τόποις κατὰ τὴν γνάθον ἐνέγκας, ἔμαθεν παρὰ τῶν ἰατρῶν, ὡς εἰ μὴ ταχεῖαν τὴν θεραπείαν χρήσηται καὶ ὠμοτομίᾳ τοῦτο παραδώσει, πάθος πάντως ἀπόρροιαν κατὰ τοῦ λαιμοῦ ποιῆσαν πνιγμὸν ἀπεργάσηται. ὡς δὲ ἤκουσεν τοῦτο ὁ ἀνήρ, πολὺς ἐγένετο καταλαβεῖν τὰς τοῦ νοσήματος ὁρμάς, ὅπως μὴ φθάσαν

31, 23 2. Kor. 4,16 34 1. Tim. 1,20 37 1. Kor. 5,5 39 Act. 13,8

14 οὖν] ὧν | 16 θαυμάζομεν | 17 δυσφοροῦμεν | 34 Ὑμέναιον] μένεον || Wunder 32 Hs: C[3] 4 ὁμοτιμία | πάθη πάντος | 7 σπονδὴ | 8 ὁμοτιμίαν | 11 ὁμοτιμίᾳ | 14 ὑποδειχθέντη

νομὴν κατὰ τῶν κυρίων ποιήσηται μορίων. ὡς δὲ σπουδῇ πολλῇ τὴν ὠμοτομίαν εἰργάσαντο οἱ ἰατροί, φαίνονται κατ' ὄναρ οἱ ἅγιοι Κοσμᾶς καὶ Δαμιανός τινι συνήθει τοῦ κάμνοντος ἰατρῷ λέγοντες αὐτῷ· 'ἄπελθε πρὸς τὸν σχολαστικὸν τὸν συνήθη σοι καὶ εἰπὲ αὐτῷ ὅτι· "κακῶς συνεβουλεύθης παρὰ τῶν ἰατρῶν τῇ ὠμοτομίᾳ χρήσασθαι, ἄλλως τε δὲ καὶ ταξάμενος ἥκειν πρὸς ἡμᾶς· διὰ τί ἐρραθύμησας τοῦ ἐλθεῖν; ὅρα οὖν· ἐπικίνδυνόν σοι ἐστὶν τὴν θεραπείαν ἕπεσθαι". φλεβοτόμησον δὲ αὐτὸν καὶ ἐπίθες ἐν τῷ τόπῳ τῷ πάσχοντι τὸ ὑποδειχθέν σοι παρ' ἡμῶν φάρμακον'. ὡς δὲ ἤκουσεν ὁ σχολαστικὸς παρὰ τοῦ ἰατροῦ, ἐσπούδασεν τὸν ἡγιασμένον τῶν ἁγίων οἶκον καταλαβεῖν. ἄρας δὲ τὸ ἐπιδειχθὲν αὐτῷ παρὰ τοῦ ἰατροῦ φάρμακον τῇ κηρωτῇ τῶν ἁγίων ἐχρῆτο. τῶν δὲ ἁγίων ἐμφανισθέντων αὐτῷ καὶ εἰρηκότων μηδὲ χρῆσθαι νῦν τῇ κηρωτῇ, ἀλλὰ μᾶλλον τῷ ἐπιτεθέντι αὐτῷ παρὰ τοῦ ἰατροῦ φαρμάκῳ, ἐποίησεν δὲ οὕτως, ὡς δὲ ἐνόμισεν περιγενέσθαι τοῦ πάθους, ὅρα πῶς τὰ κατ' αὐτὸν διοικοῦσιν οἱ ἅγιοι. ψυχικῆς γὰρ μᾶλλον ὑποκειμένης τῷ ἀνδρὶ αἰτίας συμβαίνει ἐπὶ τὴν ἀρχαίαν ἀταξίαν παλινδρομῆσαι τὸ νόσημα. ὀφθέντες οὖν οἱ ἅγιοι οὐκ αὐτῷ, διὰ τὴν συνέχουσαν ὡς οἶμαι ἁμαρτίαν, ἀλλά τινι κληρικῷ εὐλαβεῖ τοῦ οἴκου αὐτῶν τοῦ ἁγίου εἰρήκασιν οὕτως· 'ἄπελθε, εἰπὲ τῷ σχολαστικῷ τῷδε τῷ ἐν τῷ τόπῳ τῷ δεῖνι ἀνακειμένῳ· "εἰ θέλεις ἀπαλλαγῆναι τῆς νόσου, ἀπόταξαι τῇδε τῇ γυναικὶ καὶ μὴ ἔστωσάν σοι πρὸς αὐτὴν συνθῆκαι ἔρωτος ἀτόπου, καὶ ὑγιὴς γενήσει. εἰ δὲ μὴ ἀποστῇς, γίνωσκε κυριεύεσθαί σε ὑπὸ τοῦ πάθους".' τοῦ δὲ εὐλαβοῦς κληρικοῦ ὑποστελλομένου λαλῆσαι τῷ ἀνδρὶ πάλιν ἐπιστάντες οἱ ἅγιοι προετρέποντο λαλῆσαι τῷ ἀνδρί. ὡς δὲ καὶ πάλιν ὑπερέθετο, ὑπόνοιαν φεύγων ἀπιστίας, σφοδρότερον ἐπιθέντες οἱ ἅγιοι τῷ κληρικῷ διήγειραν λαλῆσαι τῷ σχολαστικῷ τὰ πρὸς αὐτὸν παρ' αὐτῶν λαληθέντα. ὡς δὲ ἤκουσεν ὁ σχολαστικός, τὸ πρᾶγμα ἐγνώρισεν, καὶ τὴν ὑγείαν τὴν ἑαυτοῦ προτιμοτέραν τῆς γυναικὸς ποιησάμενος ἐσπούδασεν τὸ προσταχθὲν αὐτῷ παρὰ τῶν ἁγίων ποιῆσαι. καὶ ὅρα τῶν ἁγίων τὴν ὑπερβάλλουσαν ἀγαθότητα· οὐ γὰρ ἄλλως τὴν ἴασιν τῷ ἀνδρὶ ἠνέσχοντο ποιῆσαι, ἄχρις ἂν τὴν ἀποσυνταχθεῖσαν γυναῖκα γάμῳ προσομιλήσασαν ἑωράκασιν, καὶ οὕτως ἐπὶ τελείαν ὑγείαν αὐτὸν ἐπανήγαγον, μὴ μόνον τὸ σῶμα διορθώσαντες, ἀλλὰ καὶ τὴν ψυχὴν ἰασάμενοι, καὶ κατ' ἀμφότερα τὸν ἄνδρα στηρίξαντες, οὕτως τῷ ἰδίῳ ἀπεδώκασιν οἴκῳ.

518 *Μέρος ἐξηγήσεως θαυμάτων τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ* Wunder serie V Vorrede

*Τὰς μεγάλας τῶν μεγάλων ἐνδόξων ἁγίων καὶ θεραπόντων τοῦ
Χριστοῦ Κοσμᾶ καὶ Δαμιανοῦ θαυματουργίας παρὰ τῶν διαφόρως
καὶ πολυτρόπως συγγεγραφότων ἐν τῷ ἁγίῳ αὐτῶν τούτῳ ναῷ ἀνα-
γινωσκομένας ἀκούσας καὶ τὰς καθ' ἑκάστην δὲ ἡμέραν τε καὶ ὥραν
γινομένας ἰάσεις ἀκούων, τὰς μὲν παρ' αὐτῶν τῶν ἰαθέντων, τὰς δὲ
520 παρὰ τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν γενο|μένων τῶν θεραπευθέντων,
εὐχῇ ηὐξάμην καὶ ἐπιθυμίᾳ ἐπεθύμησα κἂν ἓν ἢ δεύτερον θαῦμα τῶν
μήπω συγγραφέντων θαυμάτων κατὰ μίμησιν τῆς τοὺς δύο ὀβολοὺς
εἰς τὸ γαζοφυλάκιον τοῦ θεοῦ εἰσαγαγούσης χήρας προσθεῖναι τοῖς
ἁγίοις αὐτῶν θαύμασιν εἰς δόξαν καὶ ἔπαινον τοῦ μεγάλου θεοῦ καὶ
σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μὴ μόνον ἐν τῇ ἐνσάρκῳ αὐτοῦ
οἰκονομίᾳ, ἀλλὰ καὶ ἄχρις οὗ τὸ σήμερον καλεῖται βοῶντος καὶ
λέγοντος· 'ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.'
τῶν δὲ δημιουργικῶν αὐτοῦ ἔργων ἀπὸ καταβολῆς κόσμου τελειω-
θέντων, καθὼς ὅ τε μακάριος Μωυσῆς ἐν τῇ τῆς γενέσεως βίβλῳ
ἐδίδαξεν καὶ ὁ ἔνδοξος ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους
ἐπιστολῇ γεγράφηκεν λέγων· 'καὶ κατέπαυσεν ὁ θεὸς τῇ ἡμέρᾳ τῇ
ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν,' ποῖα ἄρα νῦν
ὁ σωτὴρ καὶ θεὸς ἡμῶν σὺν τῷ ἀχράντῳ πατρὶ αὐτοῦ καὶ τῷ ἁγίῳ
καὶ ἀγαθῷ καὶ ζῳοποιῷ καὶ προσκυνητῷ αὐτοῦ πνεύματι ἐργάζεται
522 ἔργα ἄλλα, ἢ τὸ καθ' ἑκάστην ἡμέ|ραν διὰ τῶν ἁγίων αὐτοῦ
ζῳοποιεῖν τοὺς νεκροὺς ἰᾶσθαί τε τοὺς συντετριμμένους τῇ καρδίᾳ
καὶ δεσμεύειν τὰ συντρίμματα αὐτῶν πληροῦν τε ἐκεῖνα, ἃ καὶ
διὰ τοῦ μακαρίου Ἡσαΐου περὶ τῆς σωτηρίου ἐνανθρωπήσεως αὐ-
τοῦ ἐβόησεν λέγων· 'ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παρα-
λελυμένα παρακαλέσατε. εἴπατε τοῖς ὀλιγοψύχοις τῇ καρδίᾳ· "ἰσχύ-
σατε, μὴ φοβεῖσθε." ἰδοὺ γὰρ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσιν καὶ
ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς.' καὶ ὥσπερ ἐπερωτηθεὶς
παρά τινος ὁ προφήτης, ποῖα ἄρα ἔσται σημεῖα ἐν τῇ τοῦ ἐρχομένου
θεοῦ παρουσίᾳ, ἐπήγαγεν λέγων· 'τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν
καὶ ὦτα κωφῶν ἀκούσονται, τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς καὶ
τρανὴ ἔσται γλῶσσα μογιλάλων.' ταῦτα δὲ πάντα τὰ πρὸ πολλῶν
γενεῶν παρὰ τῶν μακαρίων προφητῶν προρρηθέντα καὶ ἐν τῇ τοῦ*

---

8 Marc. 12,42 Luc. 21,2 13 Joh. 5,17 15 Gen. 2,2 16 Hebr. 4,4
22 Röm. 4,17 Ps. 146 (147),3 Jes. 61,1 24 Jes. 35,3 30 ebd. 5

Vorrede V Hs: V¹ 48 ποιήσωμαι V¹ verb. W || Wunder 33 Hs: V¹

Χριστοῦ παρουσίᾳ τελεσθέντα καὶ ἐν τῷ ἁγίῳ τούτῳ ναῷ αὐτῶν καθ' ἑκάστην ἡμέραν τε καὶ ὥραν διὰ τῶν ἁγίων θεραπόντων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ ὀφθαλμοφανῶς ἐπιτελούμενα κα|θορῶμεν. διόπερ 524 κἀγὼ ὁ ἀνάξιος, μέλλων τῷ ἰδιωτικῷ καὶ ἀγροικικῷ λόγῳ ἐγγράφως προσθεῖναι τῷ γαζοφυλακίῳ τῶν ἐκ τοῦ βάθους τοῦ πλούτου τῆς σοφίας καὶ τῆς γνώσεως τοῦ θεοῦ πλουσίως προεκθεμένων τὰς παραδόξους θαυματουργίας αὐτῶν κατὰ μίμησιν, ὡς εἴρηται, τῆς τοὺς δύο ὀβολοὺς προσαγούσης μακαρίας χήρας ἐκείνης ὀλίγα θαύματα τῶν ἁγίων, τὰς εὐχὰς αὐτῶν ἐπικαλεσάμενος ἐντεῦθεν τοῦ λόγου τὴν ἀρχὴν ποιήσομαι.

Wunder 33 (29)

περὶ τοῦ μεμοριαλίου

πρὸ ὀλίγου καιροῦ συνέβη μεμοριάλιόν τινα τῶν ἐν τῷ τῶν λιβέλλων σκρινίῳ τοῦ φιλοχρίστου παλατίου στρατευομένων πολλοῖς καὶ ποικίλοις περιπεσεῖν παθήμασιν· πρωτοτύπως μὲν σπασμὸν ἐντέρων ὑπομεῖναι ἐπὶ δύο ἐνιαυτούς, ἀνενδότων δὲ ὄντων τῶν πόνων καὶ τῶν θανατηφόρων ὀδυνῶν κατὰ τὴν προφητείαν τὴν λέγουσαν· 'ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες | θανάτου,' 526 ἐν τοῖς λουτροῖς ὑπῆρχεν διημερεύων καὶ διανυκτερεύων, παραμυθίαν τινὰ τῶν ἀνενδότων ὀδυνῶν ἐκ τούτου ποριζόμενος. μηκέτι δὲ ἐπαρκῶν τοῖς βαλανείοις προσπελάζειν διά τε τὸ ἀπαύστους εἶναι τὰς προσβαλούσας αὐτῷ ἐκ τοῦ πονηροῦ ὀδύνας καὶ διὰ τὸ μὴ ἐπαρκεῖν ὑπουργεῖν αὐτῷ τοὺς οἰκέτας αὐτοῦ, ἐν τῷ ἑαυτοῦ λοιπὸν μένων οἴκῳ ἡμέρας τε καὶ νυκτὸς σκαφολουτρούμενος διετέλει. μετὰ δὲ τὸ τοὺς δύο παρελθεῖν ἐνιαυτοὺς συνέβη αὐτὸν ἐκ τοῦ πονηροῦ, καθὰ εἴρηται, καὶ τὰς φρένας ἀλλοιωθῆναι, οὕτω τε τῶν πειρασμῶν ἐπιταθέντων καὶ τῶν φρενῶν ἀλλοιωθεισῶν πάντα τὰ τούτου νεῦρα, τά τε τῶν χειρῶν καὶ τὰ τῶν ποδῶν καὶ τῶν ἐν τῇ κεφαλῇ ὀργάνων τῶν λεγομένων ἀρτηριῶν, παραλύσει ὑπέπεσαν, ὥστε τὰς μὲν σάρκας τῶν μελῶν αὐτοῦ πάσας κατατακῆναι, τὰ δὲ μυώματα αὐτοῦ μηκέτι σῴζεσθαι λοιπόν, ἀλλὰ τὸ δέρμα μόνον ὁρᾶσθαι τοῖς ὀστέοις περιτεταμένον καὶ αὐτὰ δὲ τὰ νεῦρα ὑψηλότερα τοῦ δέρματος φαίνεσθαι, καὶ τὰς γνά|θους δὲ συνεσπάσθαι, ὡς τὸ τῆς γλώσσης ὄργανον μηκέτι 528 δύνασθαι τὰ ἑαυτοῦ ἐνεργεῖν· καὶ αὐτὸς μὲν γὰρ καθ' ἑαυτὸν ἐδόκει κραυγῇ διαλέγεσθαι, φωνὴ δὲ οὐδ' ὅλως ἐξῄει ἐκ τοῦ στόματος αὐτοῦ. ἐν παντελεῖ τοιγαροῦν ἀπορίᾳ καταστάς, ἐλέει δὲ καὶ οἰκτιρμοῖς τοῦ

33, 6 Ps. 17 (18),6

2 στρατευόμενον V¹ verb. W | 23 ἐξείη V¹ ἔξει W | 57 ἀνακαινήσει V¹ | 77 ἐπί-

μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μὴ θέλοντος
τὸν θάνατον ἡμῶν τῶν ἁμαρτωλῶν ὡς τὴν ἐπιστροφὴν καὶ τὴν ζωήν,
πρὸς ὀλίγον ἐλθὼν εἰς τὰς φρένας αὐτοῦ, παραλαβὼν τοὺς ἑαυτοῦ
οἰκέτας ὁρμᾷ ἐπὶ τὸ ἅγιον τοῦτο ἰατρεῖον τῶν τοῦ θεοῦ θεραπόντων
καὶ τοῦ κόσμου εὐεργετῶν καὶ ῥίπτει ἑαυτὸν ἐν τούτῳ, ὡς εἴρηται,
τῷ ἁγίῳ αὐτῶν οἴκῳ. καὶ τοσοῦτον ἐν ἀπορίᾳ τῆς θεραπείας κατέστη,
ὡς ἀπογνόντας τῆς ζωῆς αὐτοῦ περιφρονῆσαι καὶ καταλιπεῖν αὐτὸν
πάντας τοὺς οἰκέτας αὐτοῦ. καταλειφθεὶς οὖν μονώτατος καὶ μὴ ἔχων
τοὺς πρὸς τὴν σωτηρίαν ὑπουργοῦντας αὐτῷ ἐν τῇ κόπρῳ αὐτοῦ
ἠναγκάσθη κυλίεσθαι, ὡς ἐνωμότως αὐτὸς ὁ ταῦτα πεπονθὼς ἐπληρο-
φόρησεν ἡμᾶς. προσκαρτεροῦντος δὲ αὐτοῦ ὅμως ἐν τῷ ἁγίῳ τούτῳ
530 καὶ ¦ σεβασμίῳ οἴκῳ αὐτῶν ἐπὶ μῆνας ἑπτὰ καὶ ἐν ἀπογνώσει πολλῇ
καὶ ἀναισθησίᾳ ὄντος αὐτοῦ μετὰ τὸν ἕβδομον μῆνα ὁ ἐλεήμων καὶ
φιλάνθρωπος ἰατρός, ὁ διὰ τοὺς κακῶς ἔχοντας ἐν τῷ κόσμῳ παρα-
γενόμενος, μᾶλλον δὲ εἰς τὰ κατώτερα μέρη τῆς γῆς κατελθών, ἵνα
ζῳογονήσῃ τὰ σύμπαντα, ἀπέστειλεν τοὺς ἑαυτοῦ θεράποντας Κοσμᾶν
καὶ Δαμιανόν, οἵτινες παραγενόμενοι ἐν αἰσθήσει καὶ πληροφορίᾳ ὀφθαλ-
μοφανῶς αὐτὸν ἐχειρούργησαν ἐκ τοῦ ὀμφαλοῦ αὐτοῦ, ὡς ἄχρι τῆς σήμερον
φαίνεσθαι τὴν οὐλὴν τῆς χειρουργίας αὐτῶν, ἐξ ἧς ἰχῶρες δυσωδέστατοι
μετὰ λεπτοτάτων σκωλήκων ἐξῄεσαν ἐπὶ ἡμέρας εἴκοσι καὶ πέντε, ὡς μὴ
δύνασθαι στῆναί τινα πλησίον αὐτοῦ. κεχριμένου δὲ αὐτοῦ τῇ τῆς κηρω-
τῆς εὐλογίᾳ μετὰ τοῦ ἡγιασμένου αὐτῶν ἐλαίου ἤρξαντο ἐλέει θεοῦ
ἠρέμα καὶ κατὰ βραχὺ αἱ γνάθοι αὐτοῦ διανοίγεσθαι καὶ φωνὴ μικρὰ
νοεῖσθαι προϊοῦσα ἐκ τοῦ στόματος αὐτοῦ. εἶτα ἐκ τοῦ κατὰ μέρος
ἤρξαντο καὶ οἱ ὦμοι αὐτοῦ σαρκοῦσθαι καὶ τὰ μυώματα τῶν μελῶν
532 αὐτοῦ συνέρχεσθαι, τὰ νεῦρα συγχαλᾶσθαι καὶ τὸ δέρ|μα αὐτοῦ σὺν
τοῖς ὄνυξιν ἀλλαγῆναι, καὶ ἄνωθεν σχεδὸν νέον αὐτὸν ἀναπλάττεσθαι
ἄνθρωπον. καὶ τὰ μὲν περὶ τῆς σωματικῆς ἀσθενείας αὐτοῦ, εἰς ἣν ὁ
πονηρὸς αὐτὸν περιέβαλεν δαίμων καὶ ἐξ ἧς ὁ ἀγαθὸς αὐτὸν ἠλευθέ-
ρωσεν θεὸς διὰ τῶν ἁγίων θεραπόντων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ,
τοῦτον ἔχει τὸν τρόπον. ἐπειδὴ δὲ τὸ σῶμα ἔοικεν τῇ ψυχῇ καὶ τὰ
σωματικὰ πάθη τοῖς ψυχικοῖς πάθεσιν, εὐξώμεθα, οἱ ἀκούοντες, ἵν'
ὥσπερ ἐκεῖνον τῷ σώματι, οὕτω καὶ πάντας ἡμᾶς ἀνακαινίσῃ ὁ θεὸς
τῷ ἁγίῳ αὐτοῦ πνεύματι ἐν τῷ φόβῳ αὐτοῦ, ἀποθέσθαι ἡμᾶς κατὰ
τὴν πρότερον ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον
κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἐνδύσασθαι δὲ τὸν νέον τὸν ἀνακαι-

33, 26 Ez. 33,11 39 Eph. 4,9 58 ebd. 22

τοιγε V¹ ἐπειδή γε W | ἐν fehlt bei W ¦ παρικάσομεν V¹ verb. W | 30 ἡ W εἴη V¹ |

νούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος, ἵνα τὰ ἄνω φρονοῦντες, τὰ ἄνω ζητοῦντες, τὰ ἄνω ποθοῦντες ἀξιωθῶμεν τῶν πλουσίων οἰκτιρμῶν αὐτοῦ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. ἐπεὶ οὖν μίαν μόνην εὐαγγελικὴν θαυματουργίαν οὐχ εὑρίσκω, ᾗτινι τὴν προκειμένην συγκρίνω θαυματουργίαν, | τῇ πληθυντικῇ καὶ παντοδαπῇ 534
θαυματουργίᾳ λογίζομαι παρεικάσαι αὐτήν, περὶ ἧς γέγραπται, ὅτι μετὰ τὴν θαυματουργίαν τῆς Συροφοινικίσσης ἐλθὼν ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαντος αὐτοῦ ἐκεῖ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ ἔχοντες μεθ' ἑαυτῶν χωλούς, τυφλούς, κυλλοὺς καὶ ἑτέρους πολλοὺς καὶ ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐθεράπευσεν αὐτούς, ὥστε τοὺς ὄχλους θαυμάζειν τυφλοὺς βλέποντας, χωλοὺς περιπατοῦντας· καὶ ἐδόξαζον τὸν θεὸν τοῦ Ἰησοῦ. ταύτῃ τῇ θαυματουργίᾳ ἁρμόδιον ἡγοῦμαι παρεικάσαι αὐτήν, ὅτι πάντα τὰ θαύματα ταῦτα ἐν τῷ ἑνὶ τούτῳ εἰργάσατο ἀνθρώπῳ ὁ θεὸς διὰ τῶν ἁγίων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ, ἅπερ καὶ ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ ἐργάσηται διὰ τῶν οἰκτιρμῶν αὐτοῦ. ἐπεὶ τοίγε, κἂν [ἐν] τῇ αἱμόρρῳ αὐτὸν παρεικάσωμεν, τῇ δωδεκαετῆ ἀσθενησάσῃ χρόνον, κἂν τῷ παραλυτικῷ τῷ τριάκοντα καὶ ὀκτὼ ἔτη ποιήσαντι ἐν τῇ ἀσθενείᾳ αὐτοῦ, ἀμφοτέρας τὰς ἰάσεις ἡ παροῦσα νικᾷ θαυματουργία· ἐπειδὴ | ἡ μὲν αἱμόρρους τοσοῦτον ἰσχυροτέρα τούτου 536
ἐτύγχανεν, ὅτι οἰκείοις ποσὶν περιπατοῦσα προσέδραμεν τῷ σωτῆρι καὶ μεταξὺ τοῦ ἀναριθμήτου ἐκείνου εἰσελθοῦσα ὄχλου οὕτως ἔκλεψεν τὴν ἴασιν τῇ ἁφῇ τοῦ κρασπέδου, ὁ δὲ παράλυτος ἐρωτηθεὶς παρὰ τοῦ σωτῆρος εἰ θέλει ὑγιὴς γενέσθαι, σῶον ἔχων τὸν νοῦν καὶ ἐρρωμένας τὰς φρένας ἀπεκρίνατο λέγων αὐτῷ· 'ναὶ κύριε· ἄνθρωπον δὲ οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν.' ὁ δὲ Ἰησοῦς διὰ τῆς εἰς αὐτὸν γεγενημένης θαυματουργίας ἐβόησεν λέγων· 'ἐγώ εἰμι ὁ διὰ σὲ γενόμενος ἄνθρωπος, περὶ οὗ ὁ μὲν Δαβὶδ ἐβόησεν λέγων· "μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος", ὁ δὲ Ἡσαΐας φησίν "ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν", ὁ δὲ Ἱερεμίας φησίν· "βαθεῖα ἡ καρδία αὐτοῦ παρὰ πάντας καὶ ἄνθρωπός ἐστιν, καὶ τίς γνώσεται αὐτόν;" ὅτι μετὰ τὸ εἶναι ἄνθρωπος καὶ θεός ἐστιν ὁ αὐτός, "ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλον|τος 538
αἰῶνος". ἐπεὶ οὖν διὰ σέ', φησίν, 'ἄνθρωπος ἐγενόμην ὁ φιλάνθρωπος θεός, ἐγερθεὶς ἆρόν σου τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.' καὶ ἐγερθεὶς παραχρῆμα ἔλαβεν τὴν κλίνην, ἐν ᾗ κατέκειτο, καὶ

33, 67 Marc. 7,26 Matth. 15,29 77 ebd. 9,20 78 Joh. 5,5 85 ebd. 5,7 89 Ps. 86 (87),5 90 Jes. 53,3 91 Jer. 17,9 94 Jes. 9,6 96 Matth. 9,6

ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν θεόν. ἀλλὰ μηδεὶς τυραννίδα καλείτω μηδὲ βλασφημίαν ἡμῖν λογίσηται τὴν ἀντιπαράθεσιν· καὶ νῦν γὰρ αὐτός ἐστιν ὁ δεσπότης, ὁ διὰ τῶν οἰκείων θεραπόντων τὰ μεγάλα ταῦτα ἐνεργῶν χαρίσματα, ἵνα πληρώσῃ τὴν ἀψευθεστάτην ἐπαγγελίαν αὐτοῦ τὴν λέγουσαν· ‘ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, καὶ αὐτὸς ποιήσει καὶ μείζονα τούτων ποιήσει.’ καὶ εὑρίσκομεν ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἔργῳ καὶ ἀληθείᾳ ταύτην πεπληρωμένην· αὐτοῦ γὰρ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λόγῳ καὶ ἀφῇ τε κρασπέδου καὶ πτύσματι θαυματουργήσαντος, σκιᾷ δέ, ὅσον πρὸς τὰ ἀναγεγραμμένα θαύματα, οὐδένα θεραπεύσαντος, ἡ τοῦ μακαρίου Πέτρου σκιὰ πᾶσαν νόσον καὶ μαλακίαν ἰάσατο, οὐχ ὡς
540 αὐτοῦ τῇ οἰκείᾳ δυνάμει ταῦτα θαυματουργήσαν|τος, ἀλλ’ ὡς αὐτοῦ τοῦ δεσπότου καὶ δι’ αὐτοῦ τότε καὶ νῦν διὰ τῶν ἁγίων θεραπόντων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ ἐνεργοῦντος τὰ θαύματα. εἰ δὲ καὶ τῇ ὀπτασίᾳ τῆς τοῦ μακαρίου Ἰεζεκιὴλ προφητείας, τῆς ὀφθείσης αὐτῷ ἐπὶ τῇ τῶν νεκρῶν ὀστέων ἀναβιώσει, τὴν προκειμένην παρεικάσωμεν θαυματουργίαν, οὐχ ὑπερόγκῳ ἐπιτηδεύομεν πράγματι, ἀλλὰ τοσοῦτον διαλλάττοντι, ὅσον τὸ διάφορον ἔργον ἐστὶν μεταξὺ τοῦ τε ἐσμυρνισμένου καὶ τοῦ διαλελυμένου νεκροῦ, τοῦ μὲν μακαρίου Ἰεζεκιὴλ ἐπὶ τὰ διαλελυμένα ὀστᾶ προφητεύσαντος καὶ ὡς ἐν ἐκστάσει καὶ ὀπτασίᾳ ταῦτα ζῳοποιηθέντα θεασαμένου εἰς προτύπωσιν τῆς μελλούσης καθολικῆς ἀναστάσεως, τῶν δέ γε μεγάλων τούτων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ τὸν εἰς ἐξήγησιν ἡμῖν προκείμενον ὡς ἐσμυρνισμένον νεκρὸν ζῳοποιησάντων. τοσοῦτον δὲ τοῦτο τὸ θαῦμα ἐκείνου διαφέρειν ἡγοῦμαι τὸ θαυμαστόν, ὅσον διαφέρει τοῦ ἐν ὀπτασίᾳ ἀναστάντος νεκροῦ ὁ ἐν ἀληθείᾳ ἀνιστάμενος. ἐπεὶ οὖν ὁ τότε ἐν τοῖς προφήταις καὶ ἐν τοῖς ἀχράντοις εὐαγγελίοις αὐτοῦ ἐκεῖνα θαυματουργήσας θεὸς αὐτὸς καὶ νῦν
542 ἐν τῷ ἰαθέντι | συνδούλῳ ἡμῶν τὴν μεγάλην ταύτην καὶ παράδοξον ἐθαυματούργησεν θαυματουργίαν, ἕκαστος ἡμῶν τῶν ταῦτα ἀκουόντων τὰ θαύματα μὴ περιμείνῃ ἐν τῷ ἔξω αὐτοῦ ἀνθρώπῳ τὰ τοιαῦτα σημεῖα καὶ τέρατα γενέσθαι καὶ τότε μετανοῆσαι, ἀλλ’ ἐντεῦθεν ἤδη, ὅσοι τὴν δεινοτέραν τῆς ἁμαρτίας συνοίδαμεν ἑαυτοῖς ἀσθένειαν, παρακαλέσωμεν τὸν ἀληθινὸν ἰατρὸν τῶν ψυχῶν καὶ σωμάτων ἰάσασθαι διὰ τῶν ἁγίων αὐτοῦ τὰ συντετριμμένα τῶν καρδιῶν ἡμῶν καὶ φωτίσαι τὸ σκότος τῶν ψυχῶν ἡμῶν ἐν τῷ φόβῳ αὐτοῦ, ἵνα φοβούμενοι τὸν κύριον καὶ ἐργαζόμενοι δικαιοσύνην ῥυσθέντες τῶν κακῶν ἡμῶν ἀξιωθῶμεν τῶν οἰκτιρμῶν αὐτοῦ καὶ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι εἰς τοὺς αἰῶνας· ἀμήν.

33, 102 Joh. 14,12 108 Act. 5,15 vgl. Leben 1,10 112 Ez. 37

106 τε fehlt bei W | 114 ἐπιτηδεύωμεν V¹ verb. W | 129 παρακαλεσομεν V¹ verb. W ||

Wunder 34

περὶ Βίκτορος σχολαστικοῦ καὶ Ἑσπέρου παραλύτου

ἐπειδὴ τὴν προρρηθεῖσαν θαυματουργίαν παρ' αὐτοῦ τοῦ ὑπὸ τῶν ἁγίων ἰαθέντος ἐμάθομεν, τὸ δὲ νῦν προκείμενον εἰς ἐξήγησιν θαῦμα παρὰ θεοφιλῶν ἀνδρῶν τοῦτο μὲν ἀγράφως τοῦτο δὲ καὶ ἐγγράφως παρελάβομεν, ὡς καὶ αὐτὰς τὰς ὁσίας αὐτῶν φωνὰς ἐνθεῖναι τῷ διηγήματι, παρακαλῶ τοὺς ἐντυγχάνοντάς τε καὶ ἀκούοντας μὴ ἀπιστῆσαι τοῖς λεγομένοις· ἐπειδὴ ὥσπερ Ἰωάννῃ καὶ Ματθαίῳ τοῖς εὐαγγελισταῖς τοῖς αὐτόπταις καὶ ὑπηρέταις τοῦ λόγου γεγενημένοις πιστεύομεν, οὕτω καὶ Λουκᾷ καὶ Μάρκῳ καὶ Παύλῳ τῷ ἀποστόλῳ, τοῖς μὴ αὐτόπταις μηδὲ ὑπηρέταις τοῦ λόγου γενομένοις, ἀλλὰ παρὰ τῶν αὐτοπτῶν τε καὶ ὑπηρετῶν αὐτοῦ γεγονότων μεμαθηκόσιν πιστεύομεν, ὡσαύτως καὶ περὶ τοῦ νῦν λεγομένου θαύματος πιστεύειν ὀφείλομεν, τὰ καθ' ἑκάστην γινόμενα τῶν λεχθησομένων ἔχοντες ἐνέχυρα. ἀνήρ τις σχολαστικὸς νόσῳ συσχεθεὶς ἀνηκέστῳ, ἣν φαγέδαιναν οἱ τῶν ἰατρῶν παῖδες ὀνομάζουσιν, τῶν ἐνδόξων τούτων ἁγίων καταλαμβάνει οἶκον, πιστεύσας τῷ θεῷ δι' αὐτῶν τοῦ ἀνιάτου ῥυσθῆναι πάθους. ὡς δὲ οὐκ ἐπαύετο νύκτωρ τε καὶ μεθ' ἡμέραν δυσωπῶν αὐτούς, οὐ παρεῖδον τὴν δέησιν αὐτοῦ οἱ συμπαθέστατοι ἰατροί, ἀλλὰ συντομώτατα οἰκονομοῦσιν τὴν θεραπείαν αὐτοῦ. καὶ ὅρα τὸ αὐτῶν συμπαθὲς καὶ φιλάνθρωπον, πῶς ἑνὶ φαρμάκῳ δύο κατ' αὐτὸν θεραπείας οἰκονομοῦσιν. ἦν ἐν αὐτῷ τούτῳ τῷ ἁγίῳ αὐτῶν οἴκῳ ἕτερος ἀνὴρ κατακείμενος ἐν τῇ δεξιᾷ στοᾷ πλησίον τῆς σοροῦ τῶν ἁγίων λειψάνων, κρεῶν πράτης γενόμενος, νόσῳ καὶ πενίᾳ πιεζόμενος. ἡ δὲ νόσος ἦν ἡ ἐπιλεγομένη πάρεσις· ἥτις ἔλυσεν ἀπὸ τῶν ὀσφύων μέχρι τῶν ἀκρονύχων πάντα τὰ μέλη αὐτοῦ. εἷς δὲ ἦν καὶ αὐτὸς τῶν ἀπεκδεχομένων τὴν τῶν ἁγίων ἐπίσκεψιν. ὁρᾷ οὖν ὁ σχολαστικὸς ὄναρ τοιοῦτον· ἔδοξεν τοὺς τοῦ Χριστοῦ θεράποντας πλησίον ἐλθεῖν τῆς κλίνης αὐτοῦ καὶ προσμειδιῶντας εἰπεῖν πρὸς αὐτόν· 'θέλεις ἀπαλλαγῆναι τοῦ πάθους;' τοῦ δὲ ἑτοίμως κατανεύσαντος ἀπεκρίθησαν αὐτῷ· 'κάτελθε ἐν τῷ οἴκῳ ἡμῶν καὶ ἐπιζήτησον πλησίον τῆς σοροῦ τῶν ἁγίων λειψάνων ἄνδρα τινὰ κατακείμενον πάρετον· τοῦτον παρακάλεσον, ἵνα κείρῃ σου τὸ γένειον, καὶ παραχρῆμα ἰᾶταί σε ὁ Χριστός.' ὁ δὲ διυπνισθεὶς χειραγωγούμενος σπουδαίως ἀπῆλθεν ἀναζητήσων τὸν ἄνδρα. καὶ δὴ εὑρὼν αὐτὸν ἔφη πρὸς αὐτόν· 'ἀδελφέ, οἱ ἅγιοι θεράποντες τοῦ Χριστοῦ φανέντες μοι κατ'

Wunder 34 Hss: V[1] P[4] 11 πιστεύειν] ἐπινεύειν P[4] | 13 ἀνηκέστῳ] ἀνιάτω P[4] | φαγάδεναν V[1] φαγάδιναν P[4] | 14 τῶν vor ἰατρῶν fehlt in P[4] | τὸν ἔνδοξον τούτων τῶν ἁγίων P[4] | 16 πάθ. ῥυσθ. P[4] | 17 συμπαθεὶς P[4] | 19 τὲ vor καὶ zugefügt in P[4] | 23 ἀπὸ — μέχρι (24)] αὐτὸν ἀπὸ ὀσφύος ἄχρι P[4] | 24 καὶ fehlt in P[4] | 27 πρὸς μηδιόντα εἶπεν P[4] |

ὄναρ ἀπεστάλκασίν με πρός σε, ἵνα δυσωπηθεὶς ἀποθρίξῃς μου τὸ γένειον καὶ διὰ σοῦ ῥυσθῶ πάθους ἀνιάτου.' τοῦ δὲ μεθ' ὅρκων φρικτῶν εἰπόντος μηδ' ὅλως ταύτης μεμνῆσθαι τῆς τέχνης, ἀλλ' ἐκ νέας ἡλικίας κρεῶν γεγονέναι πράτης, ἵνα δὲ καὶ ᾔδει τὴν τέχνην, μὴ δύνασθαι ἀπὸ τῆς παρέσεως κινῆσαι τὴν χεῖρα αὐτοῦ, ταῦτα ἀκηκοὼς ἀπῆλθεν δυσφορῶν ὁ σχολαστικός, νομίζων φαντασίαν καὶ οὐκ ὀπτασίαν ἑωρακέναι. ὅθεν πολλὰ δάκρυα ἐν τῷ σεπτῷ θυσιαστηρίῳ ἱκετήρια προσενέγκας τῷ θεῷ ἀπῆλθεν ἀθυμῶν καὶ ῥίπτει ἑαυτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ. καὶ παραχρῆμα συσχεθεὶς ὕπνῳ ὁρᾷ πάλιν τοὺς ἐνδόξους ἁγίους πλησίον αὐτοῦ λέγοντας αὐτῷ· 'εἴπαμέν σοι, ὅτι, ἐὰν θέλῃς ὑγιὴς γενέσθαι, παρὰ τοῦ παρέτου κάρηθι.' ὃ δὲ πάλιν διυπνισθεὶς ἐλθὼν ἱκέτευεν τὸν ἄνδρα, ὃ δὲ καὶ αὖθις τήν τε ἄγνοιαν καὶ τὴν ἀδυναμίαν προβαλλόμενος ἄπρακτον αὐτὸν ἀπέλυσεν. τῇ οὖν τρίτῃ νυκτὶ πάλιν ἐπιστάντες μετὰ αὐστηρίας οἱ ἅγιοι λέγουσιν αὐτῷ· 'εἴπαμέν σοι δίς, καὶ παρήκουσας· ἰδοὺ καὶ τὸ τρίτον σοι λέγομεν, ὅτι οὐ δύνασαι θεραπείας τυχεῖν, ἐὰν μὴ παρὰ τοῦ παρέτου τὸ γένειον ἀποκαρῇς.' τότε διαναστὰς ἐκ τοῦ ὕπνου καὶ ἐλθὼν πρὸς τὸν ἄνδρα ἐκυλινδεῖτο πρὸ τῶν ἰχνῶν αὐτοῦ, ἵνα τὸ πρόσταγμα τῶν ἁγίων πληρώσῃ. ἐρυθριάσας δὲ ἐπὶ πολὺ ἱκετεύοντα αὐτὸν ἔβαλεν τὴν χεῖρα ὑπὸ τὴν στρωμνὴν αὐτοῦ, ἵνα ψαλίδα ἐκβάλῃ, ἣν ἐν τῇ ὑγιείᾳ εἶχεν διὰ τὸ ῥάπτειν τὰ ῥακώδη αὐτοῦ ἱμάτια. τὴν δὲ ψαλίδα ζητῶν εὑρίσκει ἐργαλεῖα κουρικά, ἅπερ οὐδέποτε ἔσχεν. καὶ δὴ ἐκβαλόντος αὐτοῦ ταῦτα ἤρξαντο ἀμφότεροι μετὰ τῶν πλησίον κειμένων ὑμνεῖν τὸν φιλάνθρωπον θεὸν καὶ τοὺς ἐνδόξους ἁγίους αὐτοῦ τοὺς δεδωκότας αὐτά. ἐναργῶς οὖν πληροφορηθεὶς ὁ πάρετος περὶ τῆς ὀπτασίας ἐπιλαβόμενος τῶν ἐργαλείων παρειμέναις χερσὶν εἰ καὶ ἀτέχνως ἤρξατο κουρεύειν αὐτὸν σὺν πολλῷ τῷ ἀγῶνι καὶ πολλῇ τῇ ὀδύνῃ. ἐν δὲ τῷ κείρειν αὐτὸν ἠναγκάζετο κινεῖν τε καὶ διατανύειν ἑαυτόν, ἐν δὲ τῷ διατανύειν ἑαυτὸν διανέστη εἰς γόνυ, εἶτα ἐπιμένων ἀνέστη ὀρθός. καὶ τότε συνέντες ἀμφότεροι τὴν χάριν καὶ σοφίαν καὶ δύναμιν τοῦ θεοῦ, τὴν παρασχεθεῖσαν αὐτοῖς διὰ τῶν ἁγίων, πῶς ἑκάτερον διὰ θατέρου περιώδευσαν, ἤρξαντο φωνῇ μεγάλῃ ἀνυμνεῖν τὸν τῶν ἁπάντων σωτῆρα Χριστὸν τὸν παρασχόντα αὐτοῖς τὴν σωτηρίαν διὰ τῆς τῶν ἁγίων ἐπικουρίας. ἐπειδὴ δὲ μετὰ τὴν ἀμφοτέρων θεραπείαν παρεμυθήσατο μὲν ὁ σχολαστικὸς τὸν σὺν αὐτῷ ἰαθέντα ἰατρὸν αὐτοῦ, ἰταμῶς δὲ καὶ φειδομένως, παραστάντες αὐτῷ οἱ

---

35 *ἀπέσταλκάν* **P^{4} | 38** *ἴδει* **V^{1}** *ᾔδη* **P^{4} | 42** *πάλιν* **nach** *ῥίπτει* **zugefügt in P^{4} | 50** *παρὰ τοῦ* **fehlt in P^{4} | 52** *ἰχνῶν*] *ποδῶν* **P^{4} | 53** *αὐτὸν* **fehlt in P^{4} | 54** *ὑγία* **P^{4} | 61** *κουρεύειν*] *κήρειν* **P^{4}** | *καὶ — ὀδύνῃ* **(62) fehlt in P^{4} | 64** *ὀρθῶς* **P^{4}** | *συνιέντες* **P^{4} | 68** *ἁγίων*

συμπαθεῖς καὶ φιλόψυχοι θεράποντες τοῦ Χριστοῦ Κοσμᾶς καὶ Δαμιανὸς καθ' ὕπνους μετὰ εὐσπλαγχνίας αὐτὸν ἐπαίδευσαν λέγοντες· 'οὐκ ἤκουσας τοῦ ἀποστόλου λέγοντος· "ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ' εὐλογίαις ἐπ' εὐλογίαις καὶ θερίσει"; εἰ οἱ κοσμικοί σε περιώδευσαν ἰατροί, οὐκ εἶχες ἱλαρῶς καὶ προθύμως ἀπολογήσασθαι αὐτοῖς, ἐπειδὴ δὲ τούτου χάριν διὰ τοῦ ἀσθενοῦς τούτου πένητος ἐπεσκέψατό σε καὶ ἐθεράπευσεν ὁ θεός, ἵνα κἀκεῖνος ζήσῃ διὰ σοῦ, διὰ τοῦτο κατεφρόνησας τῆς πτωχείας αὐτοῦ; ὕπαγε καὶ δὸς αὐτῷ πεντήκοντα νομίσματα, ἵνα ἱλαρῶς παραμυθηθεὶς προθύμως εὔξηται ὑπέρ σου καὶ εὖ σοι γένηται δι' αὐτόν.' τοῦ δὲ σχολαστικοῦ προθύμως πληρώσαντος τὸ προσταχθὲν καὶ λαβόντος τοῦ πένητος τοὺς πεντήκοντα χρυσοῦς παρίστανται καὶ αὐτῷ οἱ ἅγιοι λέγοντες· 'ἰδοὺ ἔπεμψέν σοι ὁ θεὸς σὺν τῇ ὑγιείᾳ καὶ ἐργαλεῖα καὶ ἀναλώματα. ἔχων οὖν ταῦτα μηκέτι τῇ προτέρᾳ ἐγγίσῃς τέχνῃ, ἀλλὰ μάθε τὴν κουρικήν, ἵνα ἐκ τῶν χειρῶν σου ζῇς καὶ μηδένα ἐπιβαρῇς, ἀλλὰ καὶ ἑτέροις ἐπικουρῇς εὐχαριστῶν τῷ κυρίῳ.' τούτων δὲ οὕτως γεγενημένων εἰς δόξαν καὶ ἔπαινον τοῦ παραδοξοποιοῦ θεοῦ ὁ μὲν σχολαστικὸς μετὰ χαρᾶς πολλῆς ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν θεὸν τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, ὁ δὲ ἐκ παραλύτων κουρεύς τε καὶ ἰατρὸς καὶ ὑγιὴς παραδόξως γενόμενος ἔμεινεν τοῦ λοιποῦ προσκαρτερῶν τῷ ἐνδόξῳ τούτῳ τῶν ἁγίων οἴκῳ καὶ ταύτην ἀφορμὴν ζωῆς ποριζόμενος, ἣν σὺν τῇ ὑγιείᾳ παρὰ τῶν ἁγίων ἔλαβεν. ἔμεινεν δὲ διὰ βίου τῇ τῶν κειρόντων προσκαρτερῶν τέχνῃ, μακρὰ φράσας χαίρειν τοῖς μακέλλοις, ὡς πολλοὺς τῶν τῆς πόλεως ἐνδόξων καὶ μεγάλων ἀνδρῶν δι' εὐχῆς ἔχειν ἔρχεσθαι καὶ ἐκ τῶν ἐκείνου κείρεσθαι χειρῶν. πρὸς ἐντελεστέραν δὲ τῶν λεγομένων ἀπόδειξιν ἄχρι καὶ τῆς σήμερον πάντες οἱ ἐν τῷ ἁγίῳ τούτῳ τόπῳ κουρίσκοι ἢ αὐτοῦ εἰσιν μαθηταὶ ἢ μαθητῶν ἐκείνου μαθηταί. ἐπεὶ οὖν οὐ μόνον τότε, ἀλλὰ ἄχρι τῆς σήμερον, μᾶλλον δὲ ἄχρις οὗ τὸ σήμερον καλεῖται, τοιαῦτα θαυματουργοῦσιν οἱ ἅγιοι θεράποντες τοῦ Χριστοῦ Κοσμᾶς καὶ Δαμιανός, δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν καὶ προσκλαύσωμεν ἐνώπιον κυρίου τοῦ ποιήσαντος ἡμᾶς, ἵνα ταῖς πρε-

---

34, 73 2. Kor. 9,6

---

fehlt in P[4] | 72 *τῆς* nach *μετὰ* zugefügt in P[4] | *αὐτῶν* P[4] | 74 *καὶ ὁ*] *ὁ δε* P[4] | 75 *οἱ* fehlt in P[4] | 77 *τούτου*] *τοῦ* V[1] | *κ. ἐθερ. σε* P[4] | 78 *ζήσεται* V[1] | 79 *καὶ* fehlt in P[4] | 80 *εὔξεται* P[4] | 81 *διαταχθὲν* P[4] | 82 *χρυσίνους* P[4] | *ἐπίστανται* P[4] | 83 *ὑγία* P[4] | 93 *ὑγία* P[4] | 94 *φράσας*] *φήσας* P[4] | *εἰπὼν* nach *χαίρειν* zugefügt in P[4] | 95 *μακελλαρίοις* P[4] | 96 *ἔχειν*] *ἔσχεν* P[4] | 98 *τόπω τούτω* P[4] | *ἢ*] *οἱ* P[4] | 99 *ἢ*] *οἱ* P[4] | *ἄγε* vor

σβείαις αὐτῶν δυσωπούμενος καὶ ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ τοιαύτας θαυματουργήσῃ θαυματουργίας, ἐνισχύων τὰς παρειμένας χεῖρας ἡμῶν καὶ τὰ παραλελυμένα γόνατα ἡμῶν δραμεῖν τὴν ὁδὸν τῶν ἐντολῶν αὐτοῦ τροχιάς τε ὀρθὰς ποιῆσαι τοῖς ποσὶν ἡμῶν, ἵνα μὴ τὸ χωλὸν ἡμῶν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον, φωτίζων ἡμᾶς εἰρήνην διώκειν μετὰ πάντων καὶ τὸν ἁγιασμόν, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον. τότε δὲ ἐνισχύει ὁ θεὸς τὰς παρειμένας χεῖρας ἡμῶν, ὅταν συνετίσῃ ἀκοῦσαι ἡμᾶς τοῦ ἀποστόλου λέγοντος· 'ὁ κλέπτων μηκέτι κλεπτέτω, κοπιάτω δὲ μᾶλλον ἐργαζόμενος ταῖς ἰδίαις χερσίν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι', κατὰ τὴν φωνὴν τοῦ κυρίου τὴν λέγουσαν· 'μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν'. καὶ τότε παρακαλεῖ τὰ παραλελυμένα γόνατα ἡμῶν ἐν ταῖς τρίβοις αὐτοῦ ὁδεύειν, ὅταν κατανύξῃ ἡμᾶς ἐκκλῖναι ἀπὸ κακοῦ καὶ ποιῆσαι τὸ ἀγαθόν, ζητῆσαι εἰρήνην καὶ διῶξαι αὐτήν, ἵνα τὸ ἔλεος αὐτοῦ καταδιώξῃ ἡμᾶς πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν καὶ ἀξιωθῶμεν τοῦ ἐλέους καὶ τῶν οἰκτιρμῶν αὐτοῦ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ὅτι ηὐλόγηται τὸ ἅγιον αὐτοῦ ὄνομα εἰς τοὺς αἰῶνας· ἀμήν.

περὶ τοῦ φοιδεράτου (Wunder 35)

ἀνήρ τις φοβούμενος τὸν θεόν, οὗ τὸ ὄνομα ἐν βίβλῳ ζωῆς, τοῦ ἁγίου τούτου ἰατρείου ἀχώριστος ὢν καὶ τοὺς ἐνδόξους θεράποντας τοῦ θεοῦ Κοσμᾶν καὶ Δαμιανὸν ἐνδόξως δοξάζων ἀεί, διηγήσατό μοι, μᾶλλον δὲ καὶ ἐγγράφως ἐξέθετο (οὗτινος αὐτὰς τὰς λέξεις τῇ προκειμένῃ ἐνέθηκα πραγματείᾳ), ὡς ὅτιπερ φοιδεράτου τινὸς μεταξὺ τῶν δύο θυρῶν τοῦ ἐνταῦθα σεπτοῦ διακονικοῦ κατακειμένου οἱ τοῖς πᾶσι τὰ πάντα γινόμενοι, ἵνα τοὺς πάντας κερδάνωσιν, ἅγιοι ἐν φοιδεράτων ὀφθέντες αὐτῷ σχήματι διὰ τῆς πλουσίως παρασχεθείσης αὐτοῖς χάριτος τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς νόσου αὐτὸν ἀπαλλάξαντες τελείαν ὑγιείαν αὐτῷ παραχρῆμα ἐδωρήσαντο. ὁρᾷ γάρ, φησίν, τινὰ φίλον αὐτοῦ καθ' ὕπνους ὁ αὐτὸς φοιδεράτος λέγοντα αὐτῷ· 'ἆρα οἶδας, ποῦ κατάκεισαι;' ὁ δὲ ἀπεκρίνατο λέγων ὅτι· 'ἐλπίζω εἰς τὸν θεὸν εἰδέναι.' ὁ δὲ πάλιν λέγει αὐτῷ· 'οἶδας, ὅτι οἱ ἅγιοι βούλονται ἐλθεῖν πρός σε;' ὁ δέ φησιν·

34, 105 Hebr. 12,12 106 Ps. 118 (119), 32 107 Hebr. 12,13 111 Eph. 4,28 113 Act. 20,35

ἄχρι zugefügt in P4 | 108 κλαύσωμεν P4 | κυρίου] αὐτοῦ P4 | 106 τὴν] εἰς P4 | 107 τροχείας V1 | 112 ἰδίαις] αὐτοῦ nach χερσίν P4 | 113 κυρίου] χ̅υ̅ P4 | 116 τὸ fehlt in P4 | 119 αὐτοῦ vor κ. τῶν (118) P4 | ἐν — αἰῶνι] νῦν P4 | εὐλόγηται P4 || Wunder 35 Hs: V1 8 φυδερατῶν | 12 φυδέρατος | 21 φυδεράται | ἕτεροι ||

'εὔχομαι ὁ ἀνάξιος ἀξιωθῆναι τῆς ἐπισκέψεως αὐτῶν.' ὡς δὲ ἀνέμενεν τὸ ἔλεος τοῦ θεοῦ τὸ διὰ τῆς ἐπισκέψεως αὐτῶν, οἱ ἔνδοξοι θεράποντες τοῦ Χριστοῦ, οἱ τοῖς πᾶσιν, ὡς εἴρηται, τὰ πάντα γινόμενοι, ἵνα τοὺς πάντας σώσωσιν, διὰ τῆς τοῦ θεοῦ χάριτος ἔρχονται πρὸς αὐτὸν ἐν σχήματι φοιδεράτων, οὓς καὶ ὑπεδείκνυεν ὁ ὑποσχόμενος λέγων αὐτῷ· 'ἰδοὺ παρεγένοντο πρός σε οἱ ἅγιοι.' ὃ δὲ ἀμφέβαλεν λέγων· 'τί με πλανᾷς; φοιδεράτοι εἰσίν, ἑταῖροί μου.' ὡς δὲ διισχυρίζετο λέγων· 'οὐχί, ἀλλ' αὐτοὺς οὓς ὁρᾷς οἱ ἅγιοί εἰσιν', πιστεύσας ὁ νοσῶν προσπίπτει τῷ ἑνὶ αὐτῶν λέγων· 'ἐλέησόν με, ὅτι πολὺν χρόνον ἔχω ἐν τῇ ἀρρωστίᾳ μου.' ὃ δέ φησιν· 'ἔρχεται ὁ ὀφείλων σε θεραπεῦσαι.' καὶ ἰδού τις ἕτερος στολὴν φορῶν δικολόγου ἔρχεται πρὸς αὐτούς, ᾧτινι ἔλεγον ὑποδεικνύοντες τὸν πάσχοντα· 'βάλωμεν αὐτῷ χεῖρα.' καταμαθόντες δὲ ἀμφότεροι τὴν κοιλίαν τοῦ πάσχοντος καὶ τὸν νῶτον αὐτοῦ λέγουσιν πρὸς ἑαυτούς· 'οὗτος οὐκ οἶδεν, τί πάσχει.' ὁ δὲ νοσῶν ὁρκοῖ αὐτοὺς κατὰ τοῦ θεοῦ ἰάσασθαι αὐτόν. οἳ δὲ λέγουσιν αὐτῷ· 'οἶδας, ὅτι ἡ ῥάχη σου σωλῆνα ἐποίησεν;' ὃ δὲ πάλιν ἐδέετο αὐτῶν λέγων· 'ἅγιοι θεράποντες τοῦ Χριστοῦ, θεραπεύσατέ με.' οἳ δὲ ἐπικαλεσάμενοι τὸν Χριστὸν ἐπέτρεπον αὐτῷ ἀνοίγειν τὸ στόμα. ὡς δὲ ἤνοιξεν ὁ νοσῶν τὸ στόμα αὐτοῦ, μεταξὺ τῶν ὀδόντων εὑρέθη ἀρχὴ ῥάμματός τινος, ὅπερ ἐπὶ πολὺ ἑλκύσαντες ὑπέδειξαν τῷ κάμνοντι πάχος ⟨ἔχον⟩ σχοινίου λέγοντες αὐτῷ· 'ἰδοὺ ἐξεκαθάρθης ἀπὸ τῆς νόσου.' ὃ δὲ λέγει αὐτοῖς· 'δέομαι ὑμῶν, ἅγιοι· γυνή τις ὁμοία μου ἁμαρτωλὸς προσῆλθεν τῷ κυρίῳ καὶ τοῖς δάκρυσιν ἀπέπλυνεν τοὺς πόδας αὐτοῦ καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμασσεν. παρακαλῶ οὖν· κελεύσατε κἀμοὶ τοῦτο ποιῆσαι εἰς ὑμᾶς.' οἳ δὲ λέγουσιν αὐτῷ· 'τοῦτο ἡμῖν μὴ ποιήσῃς, ἀλλὰ τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ ἐν πάσῃ εὐχῇ σου γένοιτό σε τοῦτο ποιῆσαι.' ἔθος γὰρ τοῖς ἁγίοις πάντα εἰς δόξαν θεοῦ ποιεῖν καὶ σὺν τῷ προφήτῃ βοᾶν· 'μὴ ἡμῖν, κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου.' τοῦ δὲ προσπεσόντος παρὰ τὰ ὅσια αὐτῶν ἴχνη καὶ εὐχαριστήσαντος τῷ κυρίῳ ἀνεχώρησαν ἀφέντες αὐτὸν ὑγιῆ, δοξάζοντα τὸν θεόν. ἐπεὶ οὖν καὶ ἡμεῖς ἐν ἀσθενείᾳ ἁμαρτίας κατακείμεθα ἐκ τῶν σχοινίων τῶν ἁμαρτιῶν τῶν περιπλακέντων ἡμῖν ὑπὸ τῶν σαρκικῶν ἡδονῶν τε καὶ παθημάτων, παρακαλέσωμεν τὸν κύριον, ἵνα ὥσπερ ἐκεῖνον ἐκ τῶν σωματικῶν πόνων διὰ τῶν ἁγίων αὐτοῦ ἠλευθέρωσεν, οὕτω καὶ ἡμᾶς ταῖς πρεσβείαις αὐτῶν δυσωπούμενος τῶν ψυχικῶν ἐλευθερώσῃ ὀδυνῶν, καθαρίζων ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ φωτίζων τῷ ἁγίῳ αὐτοῦ πνεύματι,

---

35, 37 Luc. 7,38 42 Ps. 113 (114),9 51 2. Kor. 7,1

ἐπιτελέσαι πρὸ τοῦ τέλους ἁγιωσύνην ἐν φόβῳ αὐτοῦ, ὅτι ηὐλόγηται τὸ ἅγιον αὐτοῦ ὄνομα εἰς τοὺς αἰῶνας· ἀμήν.

περὶ τοῦ ἀθρόον τυφλωθέντος παιδός — Wunder 36

οἱ συμπαθεῖς καὶ εὔσπλαγχνοι ἰατροὶ καὶ τοῦ οἰκείου δεσπότου καὶ καθηγητοῦ πιστοὶ θεράποντες καὶ γνήσιοι μαθηταὶ Κοσμᾶς καὶ Δαμιανὸς οὐ μόνον τοὺς ἀφ' ἑαυτῶν προστρέχοντας τῷ ἁγίῳ αὐτῶν ἰατρείῳ περιοδεύουσιν, ἀλλὰ καὶ τοὺς μηδὲ ὅλως τοῦτο ποιῆσαι ἐνθυμηθέντας μετὰ πολλῆς ἐφέλκονται τῆς συμπαθείας κατὰ τὴν προφητείαν τὴν περὶ τοῦ σωτῆρος ἡμῶν θεοῦ λέγουσαν· 'εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν.' τίνος δὲ χάριν ταῦτά μοι εἴρηται, φιλόχριστοι, προϊὼν παραστήσει ὁ λόγος. γυνή τις ἔχουσα παιδίον ὡς ἐτῶν τεσσάρων, ὅπερ ἀθρόον ἐκ διαβολικῆς ἐνεργείας ἐν παντελεῖ ἀβλεψίᾳ κατέστη, ὠλοφύρετο ἐπὶ τῇ συμβάσῃ τοῦ τέκνου αὐτῆς συμφορᾷ. ταύτῃ συμπαθήσαντες οἱ ἅγιοι κατ' ὄναρ φανέντες λέγουσιν αὐτῇ· 'εἰ βούλει ἀναβλέψαι τὸ τέκνον σου, ἄπελθε ἐν τῷ ναῷ τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ καὶ διαίτησαι παρὰ τῶν κληρικῶν τῆς ἐκεῖσε σκευαζομένης ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ εὐλογίας καὶ δεήθητι αὐτῶν, ἵνα ἐπιχρίσωσιν τοὺς ὀφθαλμοὺς τοῦ τέκνου σου τοῦ εὐλογημένου ἐκείνου φαρμάκου, καὶ θεραπεύει αὐτὸ ὁ Χριστός'. τῆς δὲ μετὰ πάσης χαρᾶς προσδραμούσης ἐν τῷ ἁγίῳ αὐτῶν οἴκῳ καὶ ποιησάσης, ὡς προσέταξαν αὐτῇ οἱ ἅγιοι, παραχρῆμα περιεποιήθη τὸ φῶς τῷ τυφλωθέντι παιδίῳ, καὶ συνήθως ἐδοξάσθη ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. τοῦτο τὸ θαῦμα τῷ δεσποτικῷ παρεικάσωμεν θαύματι. ὥσπερ γὰρ αὐτὸς ὁ σωτὴρ καὶ θεὸς ἡμῶν τὸν ἐκ γενετῆς τυφλὸν ὠμμάτωσεν, πηλὸν ποιήσας ἐκ τοῦ πτύσματος καὶ ἐπιχρίσας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, τὸ λεῖπον τῇ φύσει ἀναπληρώσας καὶ διὰ τοῦ θαύματος δείξας, ὅτι αὐτός ἐστιν ὁ καὶ ἐξ ἀρχῆς ἐν παραδείσῳ ἐκ πηλοῦ δημιουργήσας τὸν ἄνθρωπον καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ ἐκ πηλοῦ αὖθις

36, 6 Jes. 65,1 22 Joh. 9 25 Gen. 2,7 26 Hebr. 1,2 2. Petr. 3,3

Wunder 36 Hss: V[1] P[4] Titel παιδίου P[4] | 3 μόνους P[4] | ἑαυτοὺς P[4] | 7 μὴ vor ζητ. fehlt in P[4] | 9 ὡς] ὡσει P[4] | 10 ἐνεργείας] ἐπειρίας P[4] | οὖν vor ἐπὶ zugefügt in P[4] | τῇ — συμφορᾷ (11)] τὸ συμβὰν τῶ τέκνω αὐτῆς P[4] | 11 ταύτην P[4] | 12 ἀναβλέψαι] ἵνα ἀναβλέψει P[4] | 13 αἴτησαι P[4] | 14 ἐκεῖ P[4] | 18 ἐν fehlt in P[4] | οἴκῳ] ναῶ vor αὐτῶν P[4] | 20 ἀγαπητοὶ nach θαῦμα zugefügt in P[4] | 22 γενητῆς P[4] γεννητοῖς V[1] | 23 τὸ λεῖπον] τὸν πηλὸν P[4] | 27 τὸν fehlt in V[1] | τῇ χάρ. αὐ. fehlt

ὀμματώσας τὸν ἄνθρωπον, οὕτω καὶ οἱ ἔνδοξοι θεράποντες αὐτοῦ τῇ χάριτι αὐτοῦ ἐθαυματούργησαν, τὴν τῶν ὀμμάτων ἀβλεψίαν τῇ τῆς κηρωτῆς εὐλογίᾳ φωταγωγήσαντες. ἐπεὶ οὖν καὶ ἡμεῖς τῇ τῆς ἁμαρτίας ἀβλεψίᾳ κατεχόμεθα, παρακαλέσωμεν τὸν θεόν, ἵνα, ὡς ἔτι καιρὸς εὐπρόσδεκτος, ὡς ἔτι ἡμέρα σωτηρίας ἐστίν, ταῖς πρεσβείαις τῶν ἐνδόξων τούτων θεραπόντων αὐτοῦ δυσωπούμενος φωτίσῃ τὸ σκότος τῶν ψυχῶν ἡμῶν ἐν τῷ φόβῳ αὐτοῦ, ἵνα φοβούμενοι τὸν κύριον καὶ ἐργαζόμενοι δικαιοσύνην ῥυσθῶμεν τοῦ αἰωνίου σκότους τοῦ ἠπειλημένου ἡμῖν διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ ἀξιωθῶμεν τοῦ αἰωνίου φωτὸς μετὰ πάντων τῶν ἁγίων αὐτοῦ, ὅτι ηὐλόγηται τὸ ἅγιον αὐτοῦ ὄνομα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Wunder 37 — περὶ τοῦ ἀπογνωσθέντος ταξεώτου

τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ, ὅτι οἱ κατὰ μίμησιν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πραότατοι καὶ ἐπιεικέστατοι ἅγιοι θεράποντες αὐτοῦ Κοσμᾶς καὶ Δαμιανὸς καταπληκτικῶς ἔσθ᾽ ὅτε ἐπισκεπτόμενοι τοὺς νοσοῦντας προσηνεῖς καὶ γλυκείας χαρίζονται αὐτοῖς τὰς θεραπείας· ὡς καὶ ἐπὶ τῆς προκειμένης εἰργάσαντο θαυματουργίας. ταξεώτης γάρ τις πάθει ἀκαταλήπτῳ τῶν ἐνδοσθίων συσχεθεὶς καὶ πᾶσι σχεδὸν τοῖς ἰατροῖς ἐκδεδωκὼς ἑαυτὸν ἐπὶ χρόνον πολὺν καὶ μηδὲν ὠφεληθείς, ἀλλὰ καὶ ἐπὶ τὸ χεῖρον μᾶλλον ἐλθών, ἐν ἀπορίᾳ τε τοῦ ζῆν καὶ παντελεῖ ἀπογνώσει τυγχάνων, πάντα τὰ καθ᾽ ἑαυτὸν ἀνθρώπινα πράγματα κατὰ τὸ ἔθος τῶν τελευτώντων διατυπώσας καὶ μόνην λοιπὸν τοῦ θανάτου τὴν προσδοκίαν καθ᾽ ἑκάστην ὥραν προσδεχόμενος τὸν ἔνδοξον τοῦτον κατέλαβεν οἶκον, ἢ ἰαθῆναι ταχέως ἢ ἀποθανεῖν προσευχόμενος. ὡς δὲ πρὸς βραχὺ αὐτὸν παρεῖδον οἱ ἅγιοι, δοκιμάζοντες τὴν πίστιν αὐτοῦ, ἤρξατο λοιδορεῖν αὐτοὺς καὶ μοχθηροὺς κατ᾽ αὐτῶν ἐρεύγεσθαι λόγους ὡς παρορώμενος παρ᾽ αὐτῶν. ὁρᾷ οὖν νύκτωρ τοὺς ἐνδόξους ἀδελφούς, τοὺς ἁγίους λέγω Κοσμᾶν καὶ Δαμιανόν, καταπληκτικῶς ἐπελθόντας αὐτῷ ἀθρόως, ὡς δοκεῖν, ὑπό τινων κατὰ βάσιν ὑπομένειν. ὡς δὲ ἐν θορύβῳ πολλῷ καὶ φόβῳ πολλῷ ὑπῆρχεν, δεδιὼς καὶ σφαγῆναι, ἐνόμιζεν τὸν ἕνα αὐτῶν βαλόντα τὴν χεῖρα ἀθρόως τι τῶν ἐντὸς αὐτοῦ ἀποσπάσαντα φυγῇ χρήσασθαι. ὡς δὲ διώκων οὐκ ἴσχυσεν φθάσαι αὐτόν, ἔστη λοιπὸν ἀθυμῶν

36, 31 2. Kor. 6,2 37, 1 Ps. 105 (106),2

in P[4] | 36 εὐλόγηται P[4] | 37 τ. αἰώνων fehlt in P[4] || Wunder 37 Hs: V[1] 7 ἀκαταλείπτω | 19 κατάβασιν || Wunder 38 Hs: V[1] 5 οὐκ]

ἐπὶ τῷ συμβάντι αὐτῷ. ἐμφανήσας οὖν αὐτῷ ὁ ἕτερος τῶν ἁγίων ἐδόκει ὡς ἀγνοῶν δῆθεν πυνθάνεσθαι παρ' αὐτοῦ τὸ γεγονὸς καὶ ἀγανακτοῦντα παραμυθήσασθαι αὐτὸν ἐπερωτᾶν τε, εἰ ἦν αὐτῷ δυνατὸν εὑρεῖν τὸν δεδρακότα, ἅπερ ἔλεγεν πεπονθέναι, τί ἂν ἡδέως εἶχεν ποιῆσαι αὐτῷ. ὃ δὲ μεθ' ὅρκου ἀπεκρίνατο ὅτι· 'πᾶσαν ὅσην ἂν δυνάμεως εἶχον ἐπάξειν αὐτῷ τιμωρίαν οὐ παρῃτησάμην.' τότε ὁ ἅγιος ἀπεκρίνατο λέγων ὅτι· 'ἀδελφός μού ἐστιν, Κοσμᾶς δὲ λέγεται. μηδὲν ἀγανάκτει καθ' ἡμῶν· ἀμφότεροι ὑπὲρ τῆς σωτηρίας σου βουλευόμενοι τοῦτο ἐποιήσαμεν· ἔσῃ γὰρ τοῦ λοιποῦ ὑγιής. καὶ μὴ δόξῃ σοι ταῖς αὐταῖς καθ' ἡμῶν χρᾶσθαι λοιδορίαις, αἷς ἄχρι τοῦ νῦν ἐχρήσω καθ' ἡμῶν, ἀλλὰ ἀδιάλειπτον εὐχαριστίαν δι' ἔργων ἀγαθῶν πρόσφερε τῷ θεῷ τῷ ἐκ τοιούτων ὀδυνῶν ἐλευθερώσαντί σε.' παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὴν ἀγαθότητα τοῦ θεοῦ, ἵνα ταῖς πρεσβείαις αὐτῶν δυσωπούμενος εἴτε πράως εἴτε καταπληκτικῶς τὰς τοῦ ἔσω ἡμῶν ἀνθρώπου ὀδύνας ἰάσηται, ἀπὸ τῶν κρυφίων παθῶν ἡμῶν καθαρίζων ἡμᾶς καὶ ἀπὸ τῶν ἀλλοτρίων λογισμῶν ἐλευθερῶν ἡμᾶς, ἵν' οὕτω λοιπὸν τὸ λειπόμενον βραχὺ τῆς ζωῆς ἡμῶν ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως λατρεύοντες αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ καὶ προσκυνοῦντες αὐτῷ ἐν πνεύματι καὶ ἀληθείᾳ ῥυσθῶμεν τῶν αἰωνίων ὀδυνῶν τῶν ἠπειλημένων ἡμῖν διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ ἀξιωθῶμεν τῶν πλουσίων οἰκτιρμῶν τοῦ δεσπότου ἡμῶν καὶ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

περὶ τοῦ ὑδεριῶντος κληρικοῦ Wunder 38

τὰ παρὰ ἀνθρώποις ἀδύνατα καὶ ἀθεράπευτα πάθη διὰ τῶν ἁγίων καὶ ἐνδόξων θεραπόντων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ καθ' ἑκάστην ἡμέραν τε καὶ ὥραν ἰώμενος ὁ θεὸς προτρέπεται πάντας ἡμᾶς, ἵνα ὡς περὶ τῶν σωματικῶν ὀδυνῶν ἀνενδότως δεόμεθα αὐτοῦ καὶ οὐ παυόμεθα δεόμενοι, ἕως οὐκ οἰκτιρήσει ἡμᾶς, οὕτω καὶ πολὺ πλέον περὶ τῶν ψυχικῶν παθῶν ἡμῶν δεηθῶμεν τῆς ἀγαθότητος αὐτοῦ, ἵνα ὥσπερ τὰ ὁρώμενα θνητὰ ἡμῶν σώματα ἐκ τῶν ἀπεγνωσμένων λυτροῦται παθῶν, οὕτω καὶ τὰς ἀοράτους καὶ ἀθανάτους ψυχὰς ἡμῶν ἐκ τῶν ἀοράτων καὶ ἀθανάτων τῆς ἀτιμίας παθῶν ἐλευθερώσῃ, ὡς καὶ τὸν ἐν τῇ προκειμένῃ θαυματουργίᾳ εἰς δόξαν καὶ ἔπαινον τῆς ἀγαθότητος αὐτοῦ. κληρικὸς γάρ τις ἐν τῷ τῆς μεγάλης ἐκκλησίας καταλεγόμενος εὐαγεῖ κλήρῳ, ὕδρωπι ἀφύκτῳ καὶ πάσης

37, 39 Dan. Th. 3,39 41 Joh. 4,23. 24

οὐ | 19 προσφυγεῖν | 32 ὑδέρην | 45 κατώκησεν | 54 ἐκλαμβάνωμεν | 59 ἐκλειψώμεθα.

θέας καταπληκτικῆς ἀξίῳ περιπεσὼν ἔξω τε πάσης τῆς ἀπὸ ἰατρῶν ἐπικουρίας διὰ τὸ πανταπόγνωστον τοῦ πάθους τυγχάνων (οὐδὲν γὰρ ἦν τοῦ σώματος αὐτοῦ ἰδεῖν, ὃ μὴ φόβον πολὺν τοῖς ὁρῶσι παρεῖχεν, ὡς καὶ τὰ σμικρὰ τῶν μελῶν αὐτοῦ ὑπὲρ πᾶν μέγεθος καὶ ἄπειρον σχεδὸν ὄγκον ἐξαρθῆναι, τῷ τοῦ πάθους καταδυναστευθέντα μεγέθει), ἀναγκαίως οὖν μόνην ἐλπίδα λειπομένην αὐτῷ τὴν ἐπὶ τὸν ναὸν τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ προσφυγὴν ἐποιήσατο, ἡμέρας τέ τινας ἐν αὐτῷ κατακλιθεὶς ἀξιοῦται τῆς τῶν ἁγίων ἐπιφοιτήσεως. οἵτινες ἐπιστάντες αὐτῷ τὸ παράδοξον καὶ ἄπιστον ὡς πρὸς ἀνθρώπου φύσιν πάθος παραδόξῳ ἰάσαντο θεραπείᾳ. τρισὶ γὰρ κυάμοις ξηροῖς χρήσασθαι αὐτῷ προσέταξαν ἕκαστόν τε αὐτῶν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐπικαλεσάμενον φαγεῖν παρήνεσαν· οὗτινος γενομένου ὑπὲρ πᾶσαν ἐλπίδα τάχους ἀπηλλάγη τοῦ πάθους ὁ κάμνων. περὶ τοῦ σωματικῶς ὑδεριάσαντος ἀκούσαντες τὴν ψυχικὴν ὑδερίαν ἡμῶν τῷ τῶν ψυχῶν ἰατρῷ θεῷ προσκομίσωμεν. τοῦ γὰρ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ περὶ τῆς Σαμαρίτιδος περιοχῇ καὶ ἐν τῇ ἐσχάτῃ δὲ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς τὸ ὕδωρ τὸ ζῶν, τὴν χάριν δηλαδὴ τοῦ ἁγίου καὶ ἀγαθοῦ καὶ ζῳοποιοῦ αὐτοῦ πνεύματος, ποταμηδὸν ῥεῦσαι ἐκ τῆς κοιλίας ἡμῶν ἐπαγγειλαμένου, ὁρῶμεν ἡμεῖς ἐν ἑαυτοῖς ὑδερίαν ὑδάτων δυσωδεστάτων, τῶν αἰσχρῶν λέγω καὶ ῥυπαρῶν καὶ πονηρῶν διαλογισμῶν, ποταμηδὸν βλυζόντων ἐκ τῶν καρδιῶν ἡμῶν. ὥσπερ γὰρ ἡ χάρις τοῦ ἁγίου πνεύματος τῷ καθαρῷ παρεικάζεται ὕδατι, οὕτω δῆλον ὅτι καὶ ἡ ἐνέργεια τοῦ ἀκαθάρτου πνεύματος, ἡ διὰ τῶν αἰσχρῶν καὶ ῥυπαρῶν καὶ πονηρῶν διαλογισμῶν ἐνεργουμένη ἐν ταῖς καρδίαις ἡμῶν, ῥυπαρῷ καὶ ἀκαθάρτῳ καὶ δυσωδεστάτῳ ὕδατι παρεικάζεται. περὶ ἀμφοτέρων οὖν τούτων τῶν ὑδάτων τοῦ ἑκατοστοῦ ἕκτου ψαλμοῦ ἀναγκαῖον μνημονεῦσαι ἡμᾶς, ἐν ᾧ περί τε τῶν ἐπαινετῶν καὶ τῶν ψεκτῶν ὑδάτων διαγορεύων τὸ ἅγιον πνεῦμα ἐβόησεν λέγων· 'ἔθετο ποταμοὺς εἰς ἔρημον καὶ διεξόδους ὑδάτων εἰς δίψαν, γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ'. καὶ μετὰ τὸ ξηρανθῆναι τὴν κακίστην καρποφορίαν εὐθὺς ἐπήγαγεν λέγων· 'ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας καὶ ἔσπειραν ἀγροὺς καὶ ἐφύτευσαν ἀμπελῶνας καὶ ἐποίησαν καρπὸν γεννήματος, καὶ εὐλόγησεν αὐτούς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνεν.' περὶ τούτων τῶν δύο πραγμάτων, τῶν τε ἐρημωθέντων ποταμῶν καὶ τῆς λιμνασθείσης ἐρήμου, κατὰ μὲν τὸ γράμμα εἰς τὴν Σοδομιτικὴν χώραν

38, 29 Joh. 4,10; 7,38 41 Ps. 106 (107),33 44 ebd. 35 50 Gen. 19,24

τὴν ἐρήμωσιν θεωροῦμεν, καὶ εἰς τὴν ἀκρότομον πέτραν τὴν ὑπὸ Μωσέως παταχθεῖσαν καὶ τὸν Ἰσραηλίτην λαὸν ποτίσασαν καὶ ἄχρι τῆς σήμερον ποτίζουσαν τοὺς περιοικοῦντας αὐτὴν ⟨τὴν καρποφορίαν⟩ ἐκλαμβάνομεν· κατὰ δὲ τὸ πνευματικὸν εἰς τὴν συναγωγὴν μὲν τὴν ἐρήμωσιν, εἰς δὲ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν τὴν καρποφορίαν. ἐπειδὴ δὲ πάντα τὰ αἰσθητὰ καὶ κατὰ τὸ γράμμα γεγενημένα καὶ ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ ἀλληγορῆσαι ὀφείλομεν, τὴν μὲν ἐρήμωσιν τῶν κακίστων ποταμῶν καὶ τῆς βλαπτικῆς καρποφορίας εἰς τοὺς αἰσχροὺς καὶ πονηροὺς καὶ ῥυπαροὺς διαλογισμοὺς ἐκληψόμεθα, τὴν δὲ λιμνασθεῖσαν ἔρημον καὶ τὴν τὰς διεξόδους τῶν ὑδάτων δεχομένην ἄνυδρον εἰς τὴν καθαριζομένην καὶ φωτιζομένην καὶ ἁγιαζομένην ψυχήν, τὴν καρποφοροῦσαν τῷ θεῷ καρποὺς δικαιοσύνης ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν. ἥνπερ καλὴν καρποφορίαν καὶ ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ ἐργάσηται Χριστὸς Ἰησοῦς ὁ θεὸς ἡμῶν, ἵνα τῆς βλαπτικῆς ἐν ἡμῖν καθυδασίας ξηρανθείσης καὶ τῆς ψυχικῆς ἡμῶν οἰδήσεως ἐκτακείσης γένηται ἐν ἡμῖν ἡ χάρις τοῦ ἁγίου πνεύματος, πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, ὅτι ηὐλόγηται τὸ πανάγιον αὐτοῦ ὄνομα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Aus den
Θαύματα τῶν ἁγίων καὶ ἐνδόξων θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, συγγραφέντα παρὰ Μαξίμου διακόνου

Ἐμοὶ μὲν οὖν οὐχ ἧττον τοῦ πλήθους καὶ τὸ ποικίλον ἔπεισι τῶν Wunder 39
θαυμάτων θαυμάζειν· οὐ γὰρ ὁμοίως ἐφ' ἅπασι τὰ τῶν ἰάσεων ἐπιτελοῦντες δείκνυνται, πολυειδῶς δὲ καὶ παρηλλαγμένως καὶ τῆς γνώσεως τῆς ἡμετέρας ἐπέκεινα. ὁποῖόν ἐστι καὶ τόδε τυγχάνον, ὃ δηλώσων ὁ λόγος ἥκει μετὰ μικρόν. πλουσίῳ τε γὰρ ἑνὶ καὶ δυσὶ πένησι μεταδόντες εὐεργεσίας οὐ παρ' ἑαυτῶν εὐηργετηκότες φαίνονται, παρὰ δὲ ἀλλήλων ἕκαστον εὑρέσθαι δοκεῖν τὴν θεραπείαν ᾠκονομήκασι καὶ δι' ἀτιμίας τό γε δὴ μεῖζον, τὸ πρὸ παντός, ἀλλ' οὐ τιμώμενον, αὐτὴν τὴν ὑγείαν φημί, ἐπεβράβευσαν· ῥητέον δὲ καὶ κατὰ μέρος ἡμῖν τὰ τῆς ὑποθέσεως. ἀνήρ τις γένει τε καὶ δόξῃ τῇ κατὰ τὸν βίον περιφανής (οὐ γὰρ ἀγοραῖός τις ἦν οὐδὲ τῶν ἐκ τῶν ἐκτὸς τὴν εὐγένειαν πραγματευομένων, ἀλλ' αὐτοῖς βασιλείοις ἐνδιαπρέπων καὶ οἰκείως ἔχων πρὸς βασιλέα) σφοδρῶς ὑπὸ τοῦ πάθους ἠνωχλημένος τὸν ἱερὸν τόνδε κατειλήφει νεών. συνῆσαν δ' ἄρα ἐκείνῳ ἄλλοι τε πολλοὶ

38, 51 Num. 20,11   62 Marc. 4,20   66 Joh. 4,14

Wunder 39 Hs: M² 3 παρηλλασμένως | 14 καταλήφει | 26 τὸ] τῷ |

καὶ δύο δή τινες ἐγγυτέρω τῶν ἄλλων παρ' αὐτῷ κείμενοι, προσαῖται μὲν ἄμφω καὶ τῶν ἀναγκαίων ἐνδεῶς ἔχοντες, διαφέροντές γε μὴν ὅμως τῷ τὸν μὲν τὴν πενίαν προβάλλεσθαι εἰς πορισμὸν ἑαυτῷ, τῷ δὲ θυμέλην καὶ ὀρχήστραν καὶ τἀπὶ θεάτρων τελούμενα εἶναι τὸ ἐπιτήδευμα, ὥστ' εἴ τι καὶ συνέβαινεν εὐπορεῖν ἐκεῖνον τοῦ ἄλλου πλεονεκτοῦντα, ἐκ τοιούτων ἔχειν τὴν εὐπορίαν. κειμένοις οὖν ἐφ' ἱκανὸν παρὰ τὸ ἱερὸν τοῖς τρισὶν ἀκόλουθον ἂν ἴσως ἦν, εἴ γέ τι παρ' ἐκείνοις ὑπῆρχεν ἀνθρώπινον, πρώτως τὸν πλούσιον ἐκεῖνον ἄνδρα καὶ περιφανῆ θεραπεῦσαι, εἶθ' ἑξῆς καὶ τοὺς πένητας ἐπισκέψασθαι. οἳ δὲ τοὐναντίον δρῶνται δράσαντες· οὐ γὰρ μέλον ἦν πάντως μὴ κακῶς ἀκούσειν παρὰ τοῦ γένει καὶ δόξῃ σεμνυνομένου, ἔμελε δὲ μᾶλλον τοῦ δεσποτικοῦ παραγγέλματος, ὃ πρὸς τὸ ἴσα ποιήσασθαι τοῖς ὑστερικόσιν ἐν τῷ ἀμπελῶνι τὰ τῆς διανομῆς καὶ τῶν ἐσχάτων ἀρξάμενον πρὸς τὸν πρῶτον ἀνεληλύθει. τάχα δ' ἂν καὶ πρῶτοι παρὰ τὸν ναὸν ἧκον οἱ πένητες, καὶ παρὰ τοῦτο καὶ πρῶτοι τῆς θεραπείας ἠξίωντο. τῷ χείρω τοίνυν τοῦ μίμου ἐκείνου καὶ θυμελικοῦ πάσχοντι καὶ πρὸς τῇ νόσῳ καὶ τῇ ἐσχάτῃ κατειργασμένῳ πενίᾳ τὰ πρῶτα νύκτωρ φανέντες, ἱστῶσι μὲν τὸ πάθος εὐθύς, ἐπισκήπτουσί γε μὴν καὶ τῷ σκηνικῷ ἐκείνῳ καὶ θεάτροις προσέχοντι, μὴ ἄν ποτ' ἀπαλλαγήσεσθαι τοῦ ᾧ δὴ κατεχόμενος ἦν νοσήματος χαλεποῦ, εἰ μὴ ὃ περιεβέβλητο τῷ τεθεραπευμένῳ ἐκείνῳ καὶ πενομένῳ ἐσχάτως ἀνδρὶ δοίη χιτώνιον. κἀκεῖνος ἀντιποιούμενος ἀμφοτέρων, ἐζήτει μὲν τὴν ὑγείαν, κατεῖχε δὲ καὶ παρ' ἑαυτῷ τὸ ἱμάτιον, ἕως καὶ αὖθις ἐπιστάντες συνήθως ἔπεισάν τε λόγοις πάντως εἰκόσι παραχωρῆσαι τῷ πένητι τοῦ ἐνδύματος. οὗ γε δὴ γεγονότος ὁ μὲν πένης ἱματισμένος καὶ εὖ ἔχων τοῦ σώματος ἀπῄει χαίρων, ὁ δὲ νοσερῶς ἔχων καὶ ἔτι παρὰ τὸ ἱερὸν ἔκειτο θέατρον ἀτεχνῶς τῷ γυμνὸς ὁρᾶσθαι γενόμενος. ψύχους δὲ ἐπιόντος νυκτὸς μετεμέλετό τε καὶ ὡς ἠπατημένῳ ἑαυτῷ τὰ μάλιστα ἐπεμέμφετο καὶ τῆς νόσου ἐπιλαθόμενος, εἴ που τὸν τὸ ἱμάτιον εἰληφότα εὕροι, ἐζήτει περιιών· ὁ δ' ἦν οὐδαμοῦ. κἀκεῖνος τῷ κρύει σφοδρῶς πιεζόμενος ἐλοιδόρει τε τοὺς ἁγίους ὀνομαστὶ καὶ δυσφημῶν λόγοις ἦν χρώμενος οὐκ εὐσχήμοσιν, 'ἵνα τί', λέγων, 'μὴ τὸ παρὸν τοῦ μέλλοντος καὶ τοῦ ἀδήλου τὸ ἐν χεροῖν προτιμῶν τοῖς ἐπιβούλοις τούτοις καὶ ἐπιθέταις προσεῖχον μηδέν; ἀλλ' ἠπατημένος τοῖς κενοῖς τούτων λόγοις καί τι βέβαιον ἔχουσιν οὐδαμῶς τὰ ἐμαυτοῦ τε προέμην, τῶν δ' ὑποσχέσεων οὐδὲν ἔτι πέρας ἰδών, ἀτελεσφορήτους ὅσον ἐκ τῶν παρόντων καὶ τὰς ἑξῆς ἔσεσθαι τὸ λοιπὸν ἀπεκδέχομαι. πολλοῖς μὲν οὖν καὶ διαφόροις ἐνέπαιξα,

---

39, 26 Matth. 20,8

αὐτόχρημα δ' ἐγὼ παίγνιον τούτοις δὴ καταστὰς οὐ γελᾶσθαι μόνον, ἀλλὰ καὶ θρηνεῖσθαι ἂν εἴην ἄξιος'. τοιαῦτά τινα ὁ δυστυχὴς ἐκεῖνος ἀκολάστῳ γλώσσῃ διεξιὼν βιαιοτέραν ἑαυτῷ ἐποίει τὴν νόσον, ὅσῳ τότε μὲν σωματικῶς πάσχων ἦν, νῦν δὲ καὶ ψυχικῶς, παραπλήσια ἢ καὶ χείρω τῷ σώματι. ἀλλὰ μικρόν, καὶ ὄψει, ὦ κάθαρμα σὺ καὶ ἀνθρώπιον μιαρόν, ὅπως σε καταλλήλως καὶ ἁρμοδίως σου τῇ διαγωγῇ θεραπεύσουσιν. ἐχέσθω δὲ τῆς ἀκολουθίας ὁ λόγος καὶ τοῖς μετὰ ταῦτα ἐπεξιέτω. ὡς γὰρ τοῦτον μὲν ἐπράχθη ταῦτα τὸν τρόπον, ὁ δὲ λαμπρὸς ἐκεῖνος ἀνὴρ τὰ γινόμενα ἔκειτο θεωρῶν, ἠνιᾶτο μὲν ἄλλως καὶ ἐδυσφόρει μήπω καὶ αὐτὸς τὴν ὑγείαν ἀπειληφώς· ἔχαιρε δ' οὖν ὅμως καὶ ἥδετο, προοίμια βλέπων καὶ ἐναργῆ σύμβολα τῆς οἰκείας ἰάσεως τοὺς ὁσημέραι τεθεραπευμένους τῶν ἀσθενῶν. φθάνουσι τοίνυν καὶ μέχρις ἐκείνου οἱ θαυμαστοὶ προμηθεῖς καὶ δι' ὀνείρων κατὰ μίαν δὴ τῶν νυκτῶν ἐντέλλονται μὴ ἄλλῳ τῳ τρόπῳ ὅτι μὴ τοιῷδε θεραπευθήσεσθαι. 'τὸν γὰρ μῖμον', ἔφασαν, 'μετακαλεσάμενος πρότρεψαι δή σοι δέκα δοῦναι κατὰ τῆς σιαγόνος ῥαπίσματα, καὶ εἴσῃ εὐθὺς ἐκ τοῦ πρώτου κουφισμόν τινα μέτριον τοῦ νοσήματος. εἶτ' αὖθις τοῖς ἑτέροις ἐννέα ὁλοκλήρου ἂν ἀπόναιο τῆς ὑγείας'. ὡς οὖν ἀφ' ὕπνου γενόμενος τοῖς ὁραθεῖσιν ἐφίστη τὸν νοῦν, οὐδ' εἰς φῶς ἐτόλμα τοὺς λόγους ὑπ' αἰσχύνης προαγαγεῖν. οὐ γὰρ ἁπλῶς ὄναρ ᾤετ' εἶναι ταυτί, ἀλλ' ἀπάτην καὶ χλεύην, βασκάνῳ τινὶ δαίμονι καὶ τῆς ἐκείνου ἐπιβούλῳ τιμῆς εἰς ὕβριν ἐξευρημένην καὶ γέλωτα προφανῆ. πόθεν γὰρ ἂν εἶχε πιστεῦσαι τῇ ὄψει; τό τε γὰρ ῥάπισμα πασῶν ἐφυβριστότατον τῶν πληγῶν, ὅ τε παίσων τῶν διαβεβλημένων καὶ οὐ σεμνῶν. κἀντεῦθεν χείρονι περιεπεπτώκει τῷ πάθει καὶ 'εἴθε μηδὲ τὴν ἀρχήν', ἔλεγεν, 'ἐνταυθοῖ κατειλήφειν· πολλῷ γὰρ δήπου κρεῖττον ἦν ἐντίμως οἴκοι ἀποθανεῖν τοῦ ζῆν ἐφ' οὕτως ὕβρει σαφεῖ. οὐδὲν δ' ἴσως ἂν ὑπῆρχε δεινόν, εἴ γε δὴ βεβαίως θεραπευθήσεσθαι εἶχον θαρρεῖν· ὡς νῦν δέος, μὴ καταδεξαμένῳ τὴν ὕβριν τῆς ὑγείας ἐπιτυχεῖν μὴ ἐξῇ.' τοιούτοις δὴ παλαίων ἔνδον τοῖς λογισμοῖς, καὶ δὶς τοὺς ἁγίους ἐπιστάντας νυκτὸς καθ' ὕπνους ὁρᾷ, καὶ ταὐτὰ παρεγγυῶντας ποιεῖν, εἴ γε μὴ τῇ νόσῳ πιέζεσθαι ἐθέλοι διηνεκῶς. πείθεται τοίνυν καὶ ἄκων ὁ λαμπρὸς ἐκεῖνος ἀνὴρ τῷ τῆς ὑγείας καλῷ, καὶ τὸν μῖμον μετάκλητον ποιησάμενος λόγων ἀπήρχετο δεξιῶν, οἷς ἔμελλε πείσειν ἐκεῖνον καθυπουργήσειν τῷ ἔργῳ ἀνενδοιάστως. ὃ δ' ἐπεὶ τοῦ τῶν ἁγίων ἔφθη ἀκηκοὼς ὀνόματος, τὴν ῥύμην ἐγκόψας ἐκείνῳ τοῦ λόγου, 'μὴ πιστεύσῃς μηδέν τι αὐτοῖς', ἔφη, 'λέγουσιν· εἰς γὰρ πεῖραν ἦλθον αὐτός. ἰδοὺ γάρ, ὡς

---

42 πετεμέλετό | 65. προμηθαῖς | 66 τῷ | 98 πεισθέντι | 102 προστρέψασθαι ||

ὁρῶν εἰ· καὶ γυμνόν με ποιήσαντες τοῦ νοσήματος οὐκ ἀπήλλαξαν. ἢ τοίνυν θανάτου σοι καταστταῖεν ἂν αἴτιοι πειθομένῳ, ἢ ἕτερόν τι οὐδὲν ἀπεοικὸς θανάτου βλάβος σοι προξενήσαιεν. συμβουλεύω δὴ τοιγαροῦν σοὶ καὶ πᾶσιν ἐφ' ἅπασιν ἀπιστεῖν καὶ μὴ προσέχειν αὐτοῖς, εἴ τι λέγοιεν, κἂν εἶναι δοκῇ καλόν.' καὶ οἶδα μέν, ὡς φλυαρίαν ἐμοῦ καταγνόντες σαφῆ τοὺς λόγους οὐ παραδέξεσθε· ἐξέσται δ' ὑμῖν ἐκ τῶν πραγμάτων μαθεῖν, εἰ σκηνὴ ταῦτα καὶ ὑπόκρισις καὶ πρὸς ἀέρα μόνον λόγοι χεόμενοι. ὁ δ' οὐκ ᾤετο δεῖν ἐκείνῳ πεισθέντα ἀνέκφορα ἔχειν παρ' ἑαυτῷ τὰ τῆς ὄψεως, ἀλλὰ καὶ οὐκ ἐθέλοντα οὐμενοῦν μηδὲ τὴν ἀκοὴν ὑποσχεῖν, οἷς ἐκεῖνος ἐρεῖν ἔμελλε, κατεῖχε βίᾳ καὶ κατὰ μέρος ἕκαστα διεξῄει. καὶ ὃς κατὰ κόρρης παῖσαι τὸν ἄνδρα προτρέψασθαι δὴ τοὺς ἁγίους ἀκηκοὼς μέγα τι καὶ κατώδυνον ἀνακεκραγὼς 'οὐαί μοι', ἔφη, 'τῆς συμφορᾶς· ἰδοὺ γὰρ πρὸς τῷ ἀποδεδύσθαι καὶ μηδὲ θεραπείας ἐπιτετεῦχθαί τινος καὶ πρὸς τὸν περὶ ψυχῆς συνωθοῦμαι. ἢ τί γε ἄλλο τουτὶ τὸ σκαιώρημα βούλεται, εἰ μὴ ἐξυβρικότα πρὸς τὸν ἔνδοξον τοῦτον ἄνδρα τῷ ἐπάρχῳ τῆς πόλεως με παραδοθήσεσθαι καὶ ῥαπισμάτων μετρίων βίαιον ἀνταλλάξασθαι θάνατον; οὐ δράσαιμ' ἄν ποτε ταῦτα, ὦ κύριε, κἂν δέῃ με πρῶτον ἀποθανεῖν. βέλτιον γὰρ τεθνᾶναι πρὸ τῆς εἰς σὲ ὕβρεως καὶ καλλίστην ὑπόθεσιν ἔχειν τῆς τελευτῆς τὸ μὴ ἐθέλειν ἐξυβρίσαι πρὸς σὲ ἢ ἐνδόντα μετὰ τὴν ὕβριν ταὐτὸ πείσεσθαι. ὁπότε γὰρ ἕτερόν τι μηδέν, τό γε μὴν παρὰ τῶν ἀκουσόντων ὡς ἐτεθνήκειν καλῶς ἀκούειν εἰς τὸ ἑξῆς καὶ στήλην ἀρετῆς τὸν ἐμὸν εἶναι θάνατον κέρδος ἐγὼ τίθεμαι καὶ μεγίστην φιλοτιμίαν.' ὁ δὲ καὶ ἔτι ἐπέκειτο καὶ τὴν ὕβριν ἐζήτει, μηδὲν δεδιέναι μήδ' ὑφορᾶσθαί τι δεινὸν ὑποστῆναι βεβαίως κατεγγυώμενος, εἰ μόνον πεισθεὶς τελέσειε τὸ ἐπίταγμα. κἀκεῖνος ἀντεπάγων ἦν αὖθις τὰ ἐναντία, ἕως πανημέριοι ποιούμενοι πρὸς ἀλλήλους τοὺς ἐναντίως ἔχοντας λόγους τῆς νυκτὸς ἐπιούσης ἠρεμεῖν καὶ ἄκοντες ἠναγκάζοντο. τοὐντεῦθεν καὶ ἑκάτερος ἐπὶ τῆς κοίτης κατὰ τοὺς ὕπνους ἑώρων περὶ τῶν αὐτῶν ἐπισκήπτοντας τοὺς ἁγίους καὶ τῷ μὲν μὴ ἀμελῶς ἐφ' οἷς ἐκείνων ἀκούσειε διατεθήσεσθαι λέγοντας, ἀλλ' ἅμα τῷ ἑνὶ ἐκείνῳ ῥαπίσματι, ᾧ γε δὴ καὶ τῇ νόσῳ μικρὸν ῥαῖσαι συμβαίη, δυοῖν ἱματίοιν τὸν τετυφότα ἀμείψασθαι, εἶτα μετὰ τὸ τέλος καὶ ἑκατὸν ὅλους χρυσίνους ἐπιδοῦναι τῷ μίμῳ. ἃ δὴ καὶ πρὸς ἐκεῖνον εἰπόντες καὶ τῇ τοῦ χρυσίου λήψει καὶ τῶν ἱματίων παραθαρρύναντες προσέθεντο τὸ καὶ αὐτὸν ἐκεῖνον τὴν ὑγείαν ἐκ τοῦ δρᾶσαι ταυτὶ ἀπολήψεσθαι. ἐφ' ᾧ καὶ τῶν ὕπνων ἐπανελθόντες, ἐπεὶ ἀλλήλοις ὡμιληκότες συνῳδὰ τὰ τῶν ὄψεων εὗρον, συμβαίνοντες ἦσαν τὸ ἀπὸ τοῦδε, καὶ ὁ μὲν καταδέχεται, ὁ δὲ καὶ ἄκων ἀποτολμᾷ. καὶ ἅμα τῷ πρώτως ἐκεῖνον παῖσαι ῥᾷον ἢ πρόσθεν ἡ

νόσος εἶχε, κἀκεῖνος ἐποίει τὴν ἐντολὴν καὶ δωρεῖται τοῖς ἱματίοις τὸν ὑβριστὴν ἅμα καὶ ἰατρόν· μετὰ δὲ τὸ καὶ τὸ λεῖπον προσθεῖναι καὶ ὁ χρυσὸς ἐν χεροῖν. καὶ οὕτω ποικίλως τοῖς τρισὶ τούτοις μεταδόντες εὐεργεσίας οἱ ἅγιοι νόσον καὶ πενίαν καὶ φρόνημα ὑπερήφανον ἐν ταὐτῷ διωρθώσαντο. οὐ γὰρ ἄλλο γ' αἴτιον ἂν φαίην τῶν ῥαπισμάτων αὐτός, ὅτι μὴ οὐ μέτριον φρόνημα τοῦ περιφανοῦς ἐκείνου ἀνδρὸς καὶ προσέτι τὸ καὶ τὸν μῖμον οἷς ἐκέχρητο ἐθέλειν εὐεργετῆσαι, ὡς ἐξὸν ὂν πάντως καὶ παιδιᾷ σωφρονίζειν τοὺς τὰ μεγάλα φανταζομένους καὶ πλουτίζειν ἐξ εὐτελῶν τοὺς ῥαθύμως ζῆν αἱρουμένους καὶ ἀνειμένως τὰ εἰς τὸν βίον διακειμένους, μονονουχὶ τουτοισὶ παραινοῦντες, μήτ' ἐκεῖνον ὑπὲρ τὸ μέτρον φυσᾶσθαι (ἰδοὺ γὰρ μικρὰ νόσος ἐξυβρίσθαι τὰ ἔσχατα παρεσκεύασε), μήθ' οἷς ὁ ἀτημελῶς βιοὺς ἐτύγχανε χρώμενος ἐπιτηδεύειν εἰς τὸ ἑξῆς, εἴ γ' εὔκολον ἐξ αὐτῶν ἐκείνων πλουτίζεσθαι, καθ' ὧν ἀκολάστῳ πρώην ἐχρῆτο γλώσσῃ, τὸ τοῦ μέλλοντος ἄδηλον δεδιώς· πλὴν ὁπότερ' ἄρα τοῦ ἀληθοῦς ἔχοιτο, θεὸς ἂν αὐτὸς πάντως εἰδείη καὶ οἷς ὑπηρέταις ἐνεργῶν κέχρηται. ἡμῖν δ' ἀκόλουθον ἂν εἴη καὶ τοῖς ὑπολειφθεῖσιν ἐπιβαλεῖν.

Wunderserie VI Überleitung

ὑμῖν δ' εἰ καὶ παρέλκον ἴσως ἔδοξεν εἶναι τουτὶ τοῖς ἀκροαταῖς, προϋποστάντων μὲν ἡμῶν τὰ ἐνταυθοῖ πεπραγμένα τοῖς ἁγίοις ἐρεῖν, νυνὶ δ' ἠλογηκότων, ὡς ἄν τις εἴποι, τῶν συνθηκῶν καὶ πρὸς τὰ ἑτέρωθι διαβάντων, συνομολογήσαιμεν ἂν καὶ ἡμεῖς καὶ τῆς παραβάσεως ταύτης εὐθύνας τοῖς βουλομένοις ὑπόσχοιμεν, εἰ μόνον μὴ τοὺς ἀκροατὰς ἡδίστων διηγημάτων καὶ ἀλυσιτελῶν οὐμενοῦν ὄντων ἀποστερήσαιμεν. ὅσα μὲν γὰρ τῷ θείῳ Μεταφράστῃ ἔν γε τῷ τῶν ἁγίων βίῳ διείληπται, οὐδ' ἐπιβαλεῖν ἐκείνοις χεῖρα φήθην μὲν δεῖν· εἰ δ' ἕν που ἢ καὶ δύο παρευρεθέντα, τῆς πραγματείας ἐκτὸς καὶ τοῦ σκοποῦ τοῦ λόγου τυγχάνοντα, τοῖς λοιποῖς προστεθείη, συγγνοῖεν μὲν ἂν πάντως ἐκεῖνοι, ὧν εἰς δόξαν ταῦτα καὶ ἔπαινον λέγεται, συγγνοίητε δὲ καὶ ὑμεῖς, οἶμαι, εἰ μὴ ἀπότομοι καὶ ἀσυμπαθεῖς καὶ παρὰ τοῦ μέτρου τυγχάνοιτε δικασταί. ἐμοὶ γὰρ καὶ σκοπός τις ἕτερος πρόκειται· μηδὲ τὰ ἐπὶ τῶν ἡμετέρων γενόμενα χρόνων παραλιπεῖν, ἀλλ' ὡς οἷόν τε καὶ τούτοις ἐπιχειρῆσαι, ἄλλα ἄλλοθεν ἐρανιζομένῳ καὶ καλὸν τῷ λόγῳ συμπόσιον ἑτοιμάζοντι. καλὸν δ' ἂν εἴη ἄνωθεν ἀρξαμένους ἡμᾶς λοιπὸν ἰέναι πρὸς τὰ ἑξῆς καὶ τὴν τῶν χρόνων ἀκολουθίαν τάξιν ἐπιθεῖναι τοῖς θαύμασιν. εἴ τι μὲν οὖν κατὰ τοὺς

Überleitung VI Hs: M² 1 τουτὶ] das vorangegangene (s. o. S. 12) nach dem Metaphrasten (vgl. Z. 7) erzählte Schlangenwunder, vgl. Leben 4 | 2 ἐνταυθοῖ] im Heiligtum zu Konstantinopel | 8 φήθη | 15 ἄλλα] ἄλλων | 21 ἐπιβουλεύει ||

χρόνους ἐκείνους τυγχάνοι πραχθέν, καθ' οὓς ἄρα δὴ καὶ ὀφρὺς Ἰταλῶν καθ' ἡμῶν ἤρθη καὶ χεὶρ ἰσχυρὰ μὲν οὐδαμῶς, θρασεῖα δ' οὖν ὅμως καὶ ἀλλοτρίαις μερίσιν ἐπιβουλεύειν πρὸ παντὸς ἄλλου τιθεῖσα καὶ ἐρῶσά γε διηνεκῶς, μεθ' ὅσης ἂν εἴποις τῆς ἀπονοίας καὶ ὕβρεως κατὰ τῆς βασιλευούσης ταύτης ἐπῄει καὶ δεινῶς εἰσεκώμασε καὶ τὰ πάντων αἴσχιστα καὶ πόρρω νόμων θεοῦ καὶ θεσμῶν τῶν τῆς φύσεως ἰταμῶς οὕτω καὶ οἴκτου δίχα τινός, ὦ γῆ καὶ ἥλιε, ταύτην παθεῖν παρεσκεύασεν, ἢ μᾶλλον ἀφ' ἑαυτῆς εἰπεῖν ἔδρασεν, οὐκ ἴσμεν δήπου σαφῶς εἰπεῖν. ἅ γε μὴν ἑξῆς τὴν ἐλευθερίαν μετὰ τὸν δουλικὸν ἐκεῖνον ζυγὸν ἀπολαβούσῃ τῇ πόλει συνέβη πεπρᾶχθαι, ταῦθ' ὡς οἷόν τε συντεμὼν ἐρῶ· καὶ τούτων δ' ἔνια πάντως καὶ ἃ εἰς ἡμετέρας ἐγένετ' ἐλθεῖν ἀκοάς, ὡς τό γε πάντα λόγῳ ἐθέλειν περιλαβεῖν οὐ μόνον οὐκ ἐξὸν ἔσται τῷ βουλομένῳ, ἀλλὰ καὶ οὐκ ὀρθῶς πρὸς τῷδ' ἐσεῖται φρονῶν ὁ μήθ' ἑαυτῷ ἀσθένειαν συνειδώς, μήτε τῷ χρόνῳ παραρρυῆναί τινα καὶ συναπολέσθαι καὶ ἄξιά γε λόγου πολλὰ καὶ μνήμης ὄντα καλῶς ἡγούμενος. ἀλλὰ προσεκτέον ἤδη τῷ λόγῳ παρακαλῶ τοὺς συνειλεγμένους πάντας ὑμᾶς, διεξιέναι μέλλοντι τὰ θαύματα κατὰ μέρος καὶ πολλὴν μετά γε τοῦ ἀληθῆ λέγειν καὶ τοῦ συμμέτρου ποιουμένῳ τὴν ἐπιμέλειαν. ὡς γὰρ ζῴοις πᾶσιν ἀνάλογα τὰ μέρη τῷ παντὶ μήκει τοῦ σώματος ἡ φύσις παρέσχετο, οὕτω δὴ κἀπὶ πράγμασιν ἡ ἀναλογοῦσα τῶν λόγων οἰκονομία προσήκουσ' ἂν εἴη πάντως καὶ οὐ περιττὴ οὐδ' ἀνόνητος. ἄξιον δὲ τῶν ἄλλων προθεῖναι τὸ ἐν εἰκόσιν ἡμῖν δρώμενον.

Wunder 40

τῷ Ἀκροπολίτῃ ἐκείνῳ, ὃς λογοθέτης εἶναί τε καὶ ἀκούειν τετίμηται παρὰ βασιλέως, μέγας δὲ πρὸς τοὺς τῆς αὐτῆς τῶν ἑτέρων λογοθετῶν κλήσεως κοινωνοῦντας ἀντιδιαστελλόμενος τοὐπίσημον καλούμενος ἦν, τῷ δὴ τοιαύτης καὶ προσηγορίας καὶ ἀξίας τυχόντι θυγάτηρ ἦν· κλῆσις τῇ παιδὶ Θεοδώρα. ἥκιστα μὲν οὖσα μονογενής, φιλτάτη δ' οὖν ὅμως καὶ τοῖς πράγμασιν οὐμενοῦν λειπομένη, παρὰ τοῦτ' ἦν μόνον ἐνδέουσα τῶν μονογενῶν, παρὸ τῇ φύσει μὴ τοῦτ' ἔδοξεν εἶναι μόνως καλὸν τὸ ἐπ' ἐκείνῃ δὴ μόνῃ λελύσθαι τε ὁμοῦ καὶ στῆναι τῶν ὠδίνων τὸ λύπης γέμον ἡδύ, ἀλλ' ὥσπέρ τις φιλότιμος οὖσα δημιουργὸς καί τινα κοινὸν ἔρανον εἰσφέρουσα τῷ παντὶ μὴ ἕν τι τουτὶ δεῖν φειδοῖ καὶ μόνον ᾠήθη καταβαλεῖν, ὑπερβῆναι δέ τινας τῷ πλείω, οὐκ οἶδα δ' εἰ καὶ κρείττω, προαγαγεῖν εἰς φῶς. ἡ οὖν οὕτω καλὸν οὖσα τῷ πατρὶ χρῆμα σύρροιαί τινες νοσημάτων ἐκ πρώτης τῆς τριχὸς ἐπιοῦσαι θάνατον πρὸ τῆς ὥρας δεινὸν ἠπεί-

---

Wunder 40 Hs: M^2 14 τῆς vor τριχὸς] τὴ | 19 πολλὴν | 22 τῆς πίστεως

λουν ἐπαγαγεῖν, καὶ ἣν ὁρᾶν ἑαυτῇ μαχομένην τὴν φύσιν καὶ ὃ εἰς τὸν βίον ἐλθεῖν τῷ δημιουργικῷ προστάγματι καθυπούργησε τοῦτ' αὖθις ἐκ μέσου θέσθαι φιλονεικοῦσαν. καὶ οὕτω καθ' ἑαυτῆς ὁπλίσθαι σφοδρῶς συνέβαινεν, ὡς μηδ' εἰ τὴν ἀρχήν γε προήχθη ἐθέλειν τὸ παράπαν τοὺς πολλοὺς γνωριεῖν. ἃ δὴ καὶ ὁρῶν ὁ πατήρ, τὸ μὲν ἰατροῖς καὶ ἔτι τὰ τῶν ἰάσεων ἐπιτρέπειν μετὰ πεῖραν ἀπαγορεύσας, τοῖς ὑπὲρ φύσιν καὶ πολιτευσαμένοις καὶ γενομένοις καὶ νῦν οὖσιν ὑπὲρ ἡμᾶς, οὗ εἰκὸς τοὺς οὕτω βεβιωκότας τυγχάνειν, ἐπιρρίπτει φέρων τὴν παῖδα. οἳ δὲ τὴν πίστιν ἐκείνου ἀποδεξάμενοι ἵλεών τ' ἐπεῖδον τῇ κόρῃ καὶ πρὸς βοήθειαν διανέστησαν· καὶ ἀοράτῳ δὴ καὶ μηδεμίαν αἴσθησιν παρασχούσῃ ἐπιστασίᾳ τὸ ῥαγδαῖον ἐκεῖνο τῶν νόσων νέφος διασκεδάσαντες ἄγαλμά τι καινὸν τῷ τε πατρὶ καὶ τῷ βίῳ τὴν κόρην δωροῦνται. κἀντεῦθεν ἀντιφιλοτιμούμενος ὑπὲρ τῆς θυγατρὸς ὁ πατὴρ πέπλον τινὰ χρυσοῦ καὶ Σηρῶν νημάτων ἐξυφασμένον τούς τε τύπους παρ' ἑαυτῷ τῶν ἁγίων καὶ δὴ καὶ τῆς θυγατρὸς ἱστουργῷ ἐξεικονισθέντας φέροντα τέχνῃ πρόσεισιν ἄγων ἀντίλυτρον τοῖς ἁγίοις· ἐν κύκλῳ δὲ καὶ ἰάμβους ἐγχαράξας τῷ πέπλῳ καὶ μετὰ θάνατον τῷ θαύματι μαρτυρεῖ καὶ προτροπὴ τοῖς κακῶς τὸ σῶμα διακειμένοις τῆς ἐπὶ τοὺς ἁγίους καταφυγῆς γίγνεται.

προσκείσθω τούτῳ καὶ συγγενὲς ἕτερον, οὐ πρὸ πολλῶν ἤδη γεγενημένον τῶν χρόνων. Wunder 41 ἐνειστήκει μὲν καιρός, καθ' ὃν ἄρα καὶ τοῖς ἁγίοις ἡ ἐτήσιος ἤγετο ἑορτή, καὶ παρῆσαν εὐθὺς πλῆθός τι σύμμικτον καὶ εὐσεβεῖν ἄνωθεν ἀναπεπεισμένον, ἥν τις νικῶν φανῇ τὸν πέλας τῇ πρὸς τὸ ἱερὸν συνδρομῇ. παρῆσαν δὲ καὶ ἱερέων καὶ τῶν ἐν κλήρῳ κατειλεγμένων οὐκ ὀλίγη πληθύς. συμπαρῆν δ' ἐκείνοις καὶ ὃς τοῦ τῶν ψαλτῶν ἐτύγχανεν ἄρχων χοροῦ· δομέστικον οἶδεν Ἑλλάδι γλώττῃ τοῦτον καλεῖν Ῥωμαίων ἔθει ἐντεθραμμένος ἀνήρ. Γρηγόριος οὗτος ἦν, ὃς καὶ ἔτι δὴ περιών, ὑπὲρ τὰ ἑκατόν που καὶ ταῦτα ἔτη βεβιωκὼς καὶ τὸ πλεῖον ἀφῃρημένος σχεδὸν τῆς ζωῆς, θέαμά τι ἔνεστι τοῖς ὁρῶσι καινόν, τὸ εὐφωνεῖν οὐκ ἀποβαλών. τούτῳ τοίνυν ἔκ τινος μοχθηροτέρου χυμοῦ τραῦμά τι ἐνέφυ τῷ ὀπισθίῳ μέρει τῆς κεφαλῆς· ὃ δὴ καὶ φλεγμαῖνον τὰ πρῶτα μετεδίδου μὲν καὶ τῆς κεφαλῆς τῷ λοιπῷ μέρει τῶν ὀδυνῶν, πρὸ δ' ἄλλου τινὸς πάντως τῷ ἐγκεφάλῳ καὶ ὅσοις ἑξῆς ἐγγὺς εἶναι συνέβαινεν. ἐντεῦθεν καὶ δίνη τις καὶ σκοτασμὸς καὶ κάρος ἐκ τοῦδε βαθὺς καὶ ὑπτιασμὸς ὅλου τοῦ σώματος ἐπήει τῷ Γρηγορίῳ. ὡς οὖν καὶ οὗτος τοῖς λοιποῖς, ἧπερ ἔφθην εἰπών, ἧκε συνεορτάσων, ἔκειτο μὲν πρὸ τῆς ὥρας

ἐκεῖνον ἀποδοξάμενοι || Wunder 41 Hs: M² 32 περιφανοῦ || Wunder 42 Hs: M²

ἐλθὼν παρ' ἕν τι τῶν τῇ μονῇ ἐπόντων τοῖς μοναχοῖς οἰκιδίων. καὶ δὴ δριμυτέρων ᾐσθημένος τῶν ὀδυνῶν οὐκ ἀναστῆναι τῶν πρὸς ἑσπέραν τελουμένων ὕμνων συνεχωρεῖτο. κλινοπετὴς δ' ὢν καὶ τῷ πάθει ἀπασχολῶν ἑαυτὸν εἰς ὕπνον ἐτράπετο καὶ ὁρᾷ τινας ἐπιστάντας δύο καὶ τὸ τῆς κατακλίσεως αἴτιον δῆθεν ἀνερομένους. τοῦ δὲ δόξαντος εἰπεῖν τὴν αἰτίαν καὶ ὑποδεδειχότος τὸ πάθος χερσὶν ἅτερος ἑκατέρων ἀναψηλαφῶν ἦν, ἵνα δὴ καὶ τὸ πάθος ἐμπεφυκὸς ἐτύγχανεν ὄν. καὶ ὡς σιδήρου δή τινος ὀξυτάτου πληγῆς αἰσθόμενος ὁ ὑπνῶν εὐθὺς τῆς κλίνης ἀναπηδᾷ καὶ εὑρίσκει τὸ πάθος ταῖς ἀληθείαις διαπνευσθέν· τά γε μὴν ἱμάτια τῷ ἐκκενωθέντι ἐκείνῳ ἕλκει διάβροχα γεγονότα ἐπεμαρτύρει τὸ θαῦμα τοῖς θεωμένοις. καὶ οὕτω θεὸς διὰ τοῦ τῶν ἁγίων θαύματος ἐδοξάζετο, συνέθετό τε ὁ ἰαθεὶς μήποτ' ἐφ' ὅσον τῷ βίῳ τῷδε περίεστι τῆς δι' ἔτους ἀπολειφθῆναι τοῖς ἁγίοις τελουμένης περιφανοῦς ἑορτῆς· ὃ δὴ καὶ κατ' ἐνιαυσιαίαν χρόνου περίοδον ἐκτελῶν τὸ μεγαλεῖον καταγγέλλει τοῦ θαύματος.

Wunder 42

ἕτερός τις Βλεμμίδης τοὐπώνυμον κεκλημένος ἀνήρ, ᾧ δὴ τὸ μέτρα γῆς ἀριθμεῖν καὶ διανέμειν ἑκάστῳ τῶν γεωργεῖν εἰδότων καὶ βαθείας ἀνατεμνόντων αὔλακας τὸ ἐπιτήδευμα ἦν, κατὰ στάσιν τινὰ συμβὰν οὕτω τυχαίως τὴν χεῖρα ῥάβδῳ πεπλῆχθαι, οἷά τισιν ἀκίσιν ἐβάλλετο τῶν ὀδυνῶν τῷ σφοδρῷ· ἀπηνθράκωτο γὰρ τῇ χειρὶ καὶ ὑπέρυθρος ἐδείκνυτο πᾶσα ἡ ἐπιφάνεια. καὶ ταῦτ' ἐτύγχανε πάσχων παρά τινι κώμῃ ποιούμενος τὰς διατριβάς, οὐ τῶν θεραπείαν εἰσοισόντων ἐρήμως ἐχούσῃ μόνον, ἀλλὰ καὶ ἀνθρώπων αὐτῶν οὐ πλεῖν ἢ δέκα τὸν ἀριθμὸν κἀκείνων μήτε δεξιὰ μήτ' ἀριστερὰ τὸ τοῦ λόγου εἰδότων ἐλεεινῶς ἀπορούσῃ· ὅ γε δὴ καὶ πάθους ἄλλου τινὸς ⟨ἀπόντος⟩ πάθος ἂν ἐγίγνετο ἐθῶν καὶ ἀνατροφῆς καὶ πολλῶν ἑτέρων ἀφθονίας καλῶν ἐκ σπαργάνων αὐτῶν ἀπολελαυκότι ἀνδρί. πολλῶν οὖν ἐκείνῳ προσισταμένων καὶ αὔξειν τῷ πάθει καὶ προκόπτειν ἐπὶ τὸ χεῖρον ἐκ τοῦ τὴν κώμην οἰκεῖν συμβαίνοντος, ἐς τὴν πόλιν ἠνάγκαστο καὶ ἄκων ἐλθεῖν, καὶ ἡνία δὴ πάντα χαλάσας ἤλαυνεν ἀμεταστρεπτί, τὸ ἄστυ πρὸς ἑσπέραν καταλαβεῖν ἐπειγόμενος. ἀποτυγχάνει δὲ τοῦ σκοποῦ, ὡς ἔγωγε οἶμαι, οὐ πρὸς μέτρα πλείω τῆς ὁδοῦ ἐκταθείσης οὐδὲ τῷ ῥαθύμως ἐκεῖνον περὶ τὸ πρόσθεν διατεθῆναι, ἀλλά τινι θειοτέρᾳ πάντως οἰκονομίᾳ. οὐ γὰρ ἄν, εἰ μὴ τοῦτ' ἦν, οὔτ' ἐκεῖνος τῷ τῆς πληγῆς πάθει κατειργασμένος κατετόλμα τῶν ἀδυνάτων, οὔθ' οἱ συνόντες, κἀκείνῳ δοκοῦν ὡς τῇ τοῦ πάθους βίᾳ συνωθουμένῳ, ἠφίεσαν ἄν· ἀλλὰ κἀκείνῳ πρὸς τὴν ὁδὸν ὁ σκοπὸς καὶ τῇ

---

4 ἀκίσιν von späterer Hand am unteren Rande nachgetragen | 10 εὐπορούσῃ |

ὁδῷ συντρέχειν ἣν τῷ σκοπῷ καὶ μὴ ὑπὲρ ὃ προὔθετο ἐκεῖνος τετάσθαι συνέβαινε. ταῖς οὖν πύλαις τῆς πόλεως ἅμα καταδῦντι ἡλίῳ ὑπὸ κλείθροις τε καὶ μοχλοῖς ἑκάστης ἡμέρας ἀσφαλῶς κλειομέναις οὐκ ἐξεγένετο ἐκείνῳ τὸ τῆς ὁδοῦ μῆκος διανύσαι ὑπὸ φωτί. ἐπὶ δὲ πᾶν τὸ τῆς γῆς πρόσωπον τοῦ σκότους διαχυθέντος περιῄει φθάσας τὰ τείχη. ὡς οὖν πρὸ πυλῶν ὑπὸ τὸ αἴθριον οὐ καλὸν ἔδοξεν ἐκτὸς καθευδῆσαι, παρὰ τὴν ἅλω ἔρχεται τῆς μονῆς καὶ δὴ τῷ μήκει τῆς ὁδοῦ κεκμηκὼς βαθύν τινα ὕπνον, καίτοι σφοδρῶς βαλλόμενος ταῖς ἐκ τοῦ πάθους ὀδύναις, ὑπνοῖ καὶ ὄναρ ἐπιστᾶσι τοῖς ἁγίοις τὴν πληγὴν ἐδόκει ὑποδεικνύναι. τῶν δ' ὃ μὲν τὰς χεῖρας ἐπετίθει τῇ κεφαλῇ, ὃ δὲ τὴν χεῖρα, ᾗ πεπλῆχθαι συμβέβηκεν, ἀναψηλαφῶν εὑρίσκει δῆθεν τὸ πάθος εὐθύς, καὶ ὡς σιδήριόν τι τοῦ ἐνόντος ὄγκου τῇ χειρὶ διελάσας αἴσθησίν τινα τῷ πάσχοντι παρέσχε τομῆς. καὶ ὃς ἐξ ὕπνου γενόμενος διαρραγὲν ὁρᾷ τὸ διφδηκὸς ἐκεῖνο μέρος καὶ τὸ ἔνδον ἕλκος ἀποβαλόν. καὶ αὐτίκα εἴσεισι τὸν ναὸν καὶ ὑπὸ πολλοῖς μάρτυσι τὸ εἰς ἑαυτὸν γενόμενον διηγεῖται, οἳ καὶ ἡμῖν ζητοῦσι τὰ τῶν ἁγίων εἰς ἀκοὰς θέμενοι ἀξιόχρεῳ ἂν εἶεν, εἰ κἀκεῖνος δήπου τεθναίη, τῷ θαύματι ἐπιμαρτυρεῖν. ἡμῖν δ' ὁ λόγος χωρείτω πρὸς τὰ ἑξῆς.

Wunder 43

ἀρότῃ τινὶ ἀνδρί, ὅς γε τῶν τῇ μονῇ προσόντων ἐπὶ βουσὶν ἐτύγχανεν εἷς, παρὰ τὸ εἰκός τις τῶν μοναζόντων ἐπενεγχθεὶς οὐκ οἶδα δ' εἰ μὴ προσέθετο καὶ πληγὰς καὶ ἄκοντα ἐξωθεῖ τῆς μονῆς. ὃ δὲ τῇ λύπῃ καταποθείς, πῶς γὰρ ἂν εἶχε φιλοσοφεῖν ἀγρότης ὢν ἄνθρωπος καὶ ὅλος δουλεύων αἰσθήσει καὶ ἀλόγων ζῴων οὐδὲν ἄμεινον διακείμενος, πυρὸς ἔργον τὰ τῶν εἰς τροφὴν τοῖς ζῴοις ἀποτεθειμένων ταμεῖα αὐτοῖς σταθμοῖς κατὰ νοῦν ἔστρεφε θέσθαι. ὡς οὖν τὴν ὠδῖνα τοῦ πάθους οὐχ οἷός τε ὢν φέρειν ἄγειν εἰς φῶς προὐθυμεῖτο καὶ τὸν ἔνδον ἰὸν ἀνερρήγνυ ὁ ἐμμανὴς ἐκεῖνος καὶ μικροῦ παραπλήξ, ἀπῄει δὴ νυκτός, μετὰ χεῖρας ἔχων τὸ πῦρ, ὡς ἂν ἅμα τῷ καταθεῖναι, ὅποι δὴ εὐχερές τε καὶ ἀσφαλὲς ἐσεῖσθαι ἐκείνῳ ἐδόκει, τὸ πῦρ δι' ἧς ἂν βούλοιτο ἰέναι ἐξῇ. καὶ εἶχε μὲν οὕτως ἀλογίστως τὰ τῆς ὁρμῆς, πεπέδητο δὲ ἀρρήκτῳ τινὶ καὶ θειοτέρῳ δεσμῷ· ὡς γὰρ πλησίον ἐγένετο τῶν σταθμῶν καὶ τὴν ἄδικον ἐκείνην χεῖρα ἐξήρτυε πρὸς ἐπιβουλήν, πρὸ ὀφθαλμῶν νεανίαι δή τινες στάντες καὶ ἀχλὺν ἐκείνου καταχεάμενοι οὐκ εἴων βαίνειν ἐπὶ τὰ πρόσω, ἀλλ' ἠνάγκαζον ὀπισθοποδεῖν. ὅτε μὲν οὖν ὑποστρέφειν ὥρμητο, βλέπων ἦν κατὰ φύσιν, ὅτε δ' αὖθις ἐγγὺς γενέσθαι ἡρεῖτο τοῦ περιβόλου, εὐθὺς ἀπέβαλλε τὸ ὁρᾶν. τοὐντεῦθεν καὶ εἰς συναίσθησιν ἐλθὼν καὶ οὐ μᾶλλόν τι τὸ δρᾶσαι κακῶς

27 διαχεθέντος || Wunder 43 Hs: M² 14 γένοιτο | 25 κακοῦ | 27 μετρίαν ||

διευλαβηθείς, ὅσον τὸ μὴ τὰ ἴσα δείσας παθεῖν, ἀποστῆναι δεῖν ἔγνω τῆς ἐγχειρήσεως. εἶθ' ἑξῆς μετὰ τὸ πεπαῦσθαι τὸ νυκτὸς ἔργον καὶ μήπω μηδέπω τὸ παράπαν γνωσθέν, ἀλλ' ἐν τῷ λεληθότι τυγχάνον ἔτι καὶ σκότῳ βαθεῖ κρυπτόμενον, εἰς φῶς ἤγαγε μεθ' ἡμέραν ὁ δημιουργὸς τοῦ κακοῦ. καὶ θεῷ δὴ καὶ τοῖς ἁγίοις καὶ πᾶσι τοῖς ἐν τῇ μονῇ μεταγνοὺς βελτίων ἐγεγόνει τὰ εἰς ψυχήν, ἐκ τοῦ κακῶς βεβουλῆσθαι δρᾶσαι γενόμενος ἀγαθός, καὶ διδάσκων ἑτέρους, οἵῳ περιπεσοῦνται πάντως κακῷ, εἰ ἀδίκων ἔργων μὴ ἐθέλοιεν ἀποστῆναι, ἀλλὰ μέτρια πεπονθότες μεγάλα ἀδικεῖν προθυμοῖντο. ἀλλὰ γὰρ ἀφεμένους τῶν οἴκοι πραχθέντων ἡμᾶς χρεὼν χωρῆσαι πρὸς τὰ ἐκτός.

Wunder 44

ναῦς ποτ' ἔπλει κατά τινα χρείαν ἰδίαν τῆς μονῆς περί πού τι μέρος τοῦ ἐν Ἑλλησπόντῳ πορθμοῦ· πλήρης δ' οὖσα τῶν ἀγωγίμων τὴν ἐφολκάδα, ἣ σωτήριος ἐπὶ λιμέσιν ἐστὶν ἄγκυρα, οὐχ ἱκανῶς φέρειν εἶχεν ἐντός· ἀλλ' ἐπὶ σχοίνου τῆς πρύμνης ἐξάψαντες οἱ τῆς νεὼς ἄρχειν προβεβλημένοι ἀφιᾶσι κατὰ τοῦ ὕδατος, ἐνέθεσαν δὲ καὶ μειράκιόν τι τῷ πλοιαρίῳ, ὡς ἂν εὐθύνοι κατόπιν ἐπὶ τῶν οἰάκων καθήμενον. καὶ ἦγε μὲν τὸ σκάφος ἐφ' ἱκανὸν καὶ εἶχεν εὐθυδρομοῦν, ἕως γαληνιῶντα κύμ<α>τα ἐτύγχανε τῇ θαλάσσῃ, ὡς καὶ ἀπὸ μόνης τρυφᾶν ὄψεως τοὺς ναυτιλλομένους· ἐπεὶ δὲ λαῖλαψ σφοδρὰ κατερράγη καὶ θάλασσα μὲν δεινὸν ἠπείλει μελαινομένη, ὄρεσι δὲ βαθυκρήμνοις ἀπεικάζετο κύματα, καὶ τὸ μὲν ἐλώφα, τὸ δ' ἀντανίστατο, ἡ δὲ ναῦς ἐτετρύγει τοῖς καλωδίοις καὶ φόβον ἐπέσειε, καὶ τό γε δὴ χεῖρον, ὅτι καὶ πρὸς δυσμὰς ὄντος ἡλίου τῷ κλύδωνι συνέβαινεν ἦρχθαι, ἐν ἀμηχάνῳ ἦσαν οἱ ναυτικοί. εἰ γὰρ ἡμέρας ἐνεστηκυίας ὁ χειμὼν ἐκεῖνος ἐπῄει, εἶχον ἂν χρῆσθαι πρὸς τὴν βίαν τῇ τέχνῃ· ὑπὸ δὲ νύκτα συμβὰν τὸ κακὸν ἀπεγνῶσθαι δὴ πάντας τοὺς ἐπὶ τῆς νεὼς ἐποίει τελέως. δεύτερα πάντα θεμένοις οὐκοῦν ἡ τοῦ φόρτου ἀποβολὴ τὸ σπουδαιότατον ἦν, ὡς ἂν μέτριον τῇ νηὶ κουφισθείσῃ ἐξῇ πάντως καὶ τὸ ἐπισυρόμενον εἰσδέξασθαι σκάφος. ἐν ᾧ δὲ πραττόμενα ἐτύγχανεν ὄντα ταυτί, σφοδρόν τι πνεῦμα ὑπὲρ τὸ μέτρον διὰ τοῦ τῶν κυμάτων ὄγκου τὴν ἐξημμένην σχοῖνον ἐκτετακὸς κατεάγνυσί τε καὶ διατέμνει μέσον αὐτὴν καὶ πόρρω τίθησι τὸ σκάφος καὶ σωτηρίας καὶ τῆς νεώς· τὸ δὲ μειράκιον εὐθὺς ἐπὶ γλώσσης εἶχε τοὺς μεγάλους τούτους θαυματουργούς. οἱ μὲν οὖν ἐπὶ τῆς νεὼς ἀπεγνώκεσαν πάντες τοῦ τὸν παῖδα σωθήσεσθαι· εἰ γὰρ ἐκείνοις μόγις ἐγένετο τὴν νύκτα ἐκείνην διασεσῶσθαι, σχολῇ γ' ἂν ἐκείνῳ διαφυγεῖν ἐξὸν τὸν κίνδυνον ἔσεσθαι ὑπειλήφεσαν, εἰ μὴ προφθάντες οἱ ἅγιοι

Wunder 44 Hs: M³ 1 ἰδίαν] ἠδ' ἦν || Wunder 45 Hs: M² || Wunder 46 Hs: M² ||

διεσώσαντο. τό γε μὴν μειράκιον μετὰ τὸ πρὸς ὄνομα τοὺς ἁγίους καλέσαι τῶν οἰάκων μεθέμενον, ἄγεσθαι ὅποι ἂν τὰ πνεύματα ἤλαυνε παρεχώρει τῷ σκάφει· ἔχειν γὰρ ἑτέρους συνετῶς τοὺς κυβερνήσοντας ἐλογίζετο. δι' ὅλης μὲν δὴ τῆς νυκτὸς οὕτως ἤγετο τοῖς ἁγίοις θαρρῶν, ἅμα δ' ἀνίσχοντι τῷ ἡλίῳ, καὶ ὡς ἐκ συνθήματός τινος, ὑφ' ἓν ἦσαν αὖθις τὸ σκάφος τε καὶ ἡ ναῦς. καὶ οὕτω παρ' ἐλπίδα πᾶσαν ὁ παῖς διασεσωσμένος πρόβατόν ἐστι τῆς λογικῆς ταύτης μάνδρας, τὴν σωματικὴν σωτηρίαν ἀφορμὴν τῆς ψυχικῆς ποιησάμενος.

Wunder 45

καί ποτε πάλιν ὑπὸ σφοδρῶν πνευμάτων χειμαζομένῃ δὴ τῇ νηὶ καὶ ἐν χρῷ γενομένῃ κινδύνου, ἐπεὶ πρὸς ἀκτὰς ἐτύγχανεν οὖσα, πολλῷ χαλεπώτερον ἐπαπειλούσας ἐκείνῃ τὸν κίνδυνον (οὐ γὰρ μόνον οὐκ ἦσαν εὐποροῦσαι λιμένος, ἀλλὰ καὶ κακὸν πλοῦτον ὑφάλους τε καὶ ῥαχώδεις ἐπλούτουν πέτρας), καθέντες οἱ ναυτικοὶ τὰς ἀγκύρας, ἐπ' ἐκείνων σαλεύειν μόνην ἐάσαντες ὡς εἶχον ἕκαστος ἐπὶ τὴν φίλην χέρσον ἐξῄεσαν. ἐκάθηντο δ' ἐξ ἀπόπτου τινὸς σκοπιᾶς τὸ μέλλον ἀποκαραδοκοῦντες καὶ πλέον ἔχοντες λείψανά τινα τῆς νεὼς ἐκ τοῦ ναυαγίου ἰδεῖν διασεσωσμένα ἢ ὁλόκληρον αὖθις τὴν ναῦν ἀπολήψεσθαι. ἑώρων τοίνυν νυκτὸς λαμπάδας ἔχοντας ἀνὰ χεῖρας τοὺς καλοὺς ἡμῶν κυβερνήτας ἑκατέρωθέν τε τῆς νεὼς ἱσταμένους καὶ ἀσφαλῶς ὑποφωνοῦντας ἀλλήλοις τῷ μέρει προσέχειν, ὃ λαχόντες ἦσαν ἑκάτερος· καὶ οὕτω τὴν ναῦν κινδύνων διασωσάμενοι πλήρη τῶν ἀγωγίμων ἀπέδοσαν τῇ μονῇ.

Wunder 46

ἐφ' ἡμῶν δὲ καὶ πάνυ τοι ἀστεῖον καὶ οὐδ' ἄξιον λήθῃ παραδοθῆναι συνέβη γενέσθαι. κατὰ γὰρ Κύζικον πλευσάσαις ταῖς ναυσὶ τῆς μονῆς, ἐφ' ᾧ ξύλα μετακομίσαιεν, δεῆσαν καὶ ξύλου, ὃ πρὸς τὸν νεὼν ἀθροιζόν ἐστι πατασσόμενον πᾶσαν τῶν ἀδελφῶν τὴν ὁμήγυριν (σάλπιγγά τις πνευματικὴν εἰπὼν τοῦτ' οὐκ ἂν ἁμάρτοι τοῦ δέοντος)· ἐν χρείᾳ τοίνυν τοιοῦδε ξύλου καταστᾶσιν ἡμῖν ὁ ἐπιστατῶν ἀμφοῖν ταῖν νεοῖν δρυτόμον ἄνδρα τινὰ μισθωσάμενος, ἀπηρτισμένον ἐπὶ τῶν αἰγιαλῶν τὸ ξύλον λαβεῖν, ἐξεδέχετο· ἤδη γὰρ καὶ φόρτου ἱκανῶς εἶχον τὰ πλοῖα ὅ τε πλοῦς ἐξ οὐρίας ἐκείνοις ἐτύγχανε. βραδύνοντος δὲ ἐκείνου καὶ διαμέλλοντος ἀλυσιτελὲς ἔδοξεν εὐφόρου τυχοῦσι πνεύματος λιμένος καιρὸν τὸν τοῦ πλοῦ ποιεῖσθαι. ἐντεῦθεν καὶ ἀγκύρας πάσας ἀνεσπακότες καὶ ἱστία λευκὰ πετάσαντες ἔπλεον εὐθὺ Βυζαντίου. παρέθεσάν γε μὴν μιᾷ τινι τῶν ἀπολειφθεισῶν ἐκεῖθι νεῶν τὴν τοῦ ξύλου δὴ μετακομιδήν. κἀκείνη μετὰ τὸ πεπληρῶσθαι καὶ μηδέν τι δεῖν τοῦ φορτίου δέχεται καὶ τὸ ξύλον εὐθὺς καὶ ἐκ Κυζίκου ἀπάρασα ἔπλει τε καὶ καλῶς ἐφέρετο, βαθεῖαν ἀγούσης τῆς θαλάσσης

γαλήνην. περὶ δέ που τὰ μέσα τοῦ πλοῦ ῥαγδαῖός τις ἄνεμος ἐπιὼν ὑψοῦ μὲν ἦρθαι τὰ κύματα παρεσκεύαζε τό τε πλοῖον τῷ φόρτῳ καταβαρούμενον τοῖς ὕδασιν ἐποίει καταβαπτίζεσθαι καὶ τὸ ναυτικὸν διασεσῶσθαι γυμνοὺς ἀγαπᾶν μόνους ἔπειθεν· ἔνθεν καὶ ἅπας μικροῦ δεῖν ὁ φόρτος κατὰ πελάγους ἀφείθη καὶ τοῖς λοιποῖς καὶ ὁ σημαντὴρ ἐτύγχανε τῆς καθ' ὑδάτων φορᾶς κοινωνῶν. οὐ μὴν οὐδὲ ταυτὶ πεπραχότες οἱ ἐπὶ τῆς νεὼς θαρροῦντες ἦσαν τὴν σωτηρίαν, ἀλλὰ τὴν ἐναντίαν πρύμναν κρουσάμενοι ἐποιοῦντο καὶ μόγις διασωθέντες ὑπὸ νύκτα βαθεῖαν ἐν Προκοννήσῳ καταίρουσιν. ἔτι τοίνυν ἐνισταμένου τοῦ κλύδωνος ἀποβάντες τοῦ πλοίου διῄεσάν τε τὸν ἐν γειτόνων καὶ πρὸς ἀλλήλους ἦσαν ὡς ἔθος διομιλοῦντες τὰ τοῦ πλοῦ καὶ τοῦ κλύδωνος. καὶ δή τινι ἐκ τοῦ αἰφνιδίου γεωργῷ συναντῶσιν ἀνδρί· ὃ δ' ἦν κατὰ πρανοῦς ἕλκων τόπου τὸ ξύλον καὶ πρὸς τὴν οἰκίαν ἀπάγων σπουδῇ. οἳ δ' ὀφθαλμοὺς ἐπιστήσαντες ἀτενὲς καὶ προσεσχηκότες τῷ ξύλῳ περιεργότερον ἐκεῖνο εἶναι ἀληθῶς ἔγνωσαν, ὃ πρὸ τῶν ἄλλων ἐπαφέντες ἦσαν τοῖς ὕδασι. καὶ παρεῖδον ἂν ἴσως καὶ τῷ ἕλκοντι τῆς μετακομιδῆς παρεχώρησαν, εἰ μὴ λογισμῷ εὐσεβεῖ τοῦθ' ὑπειλήφεσαν μὴ κατὰ συντυχίαν τινὰ μήδ' αὐτομάτῳ φορᾷ γεγενῆσθαι, ἀλλὰ προδήλῳ δυναστείᾳ τῇ τῶν ἁγίων καὶ ὁδηγίᾳ κρείττονι. εἰ γὰρ τῇ τοῦ πνεύματος ῥύμῃ καὶ τῷ ῥοθίῳ τοῦ ὕδατος τὸ ξύλον φερόμενον ἐνταυθοῖ διεσέσωστο, ἔδει πάντως καί τι τῶν ἄλλων, ἃ ὑπὲρ τριακόσια τὸν ἀριθμὸν ὄντα τοῖς ὕδασιν ἀπερρίφησαν, ἐκβρασθῆναί πη τῆς θαλάσσης. ἐνταῦθ' ἔλεγον· 'εἰ δὲ κἀκεῖνα διασωθέντα ὑπεῖξέ τε τοῖς πνεύμασι καὶ ἄλλοθί που τῆς νήσου, οὗ δὴ καὶ σφοδροτέρως προσβάλλει τὰ κύματα, ἐξετέθησαν, τὸ δὲ μόνον οἷά τινι λόγῳ σαφῶς κυβερνώμενον ἐξέκλινέ τε τὴν βίαν καὶ τὸ γαληνιῶν κατειλήφει μέρος τῆς νήσου καὶ πρὸς λιμένα τόνδε κατῆρεν, οὗ ἡμεῖς πολλῷ τῷ μόχθῳ καὶ οὐ μετρίαις χρησάμενοι μηχαναῖς ἐπιλαβέσθαι ἰσχύσαμεν, ἔργον ἂν εἴη τοῦτο δὴ θεοῦ προφανῶς καὶ τῶν τοῖς μεγίστοις συνήθως τελουμένων θαυματουργοῖς οὐδὲν ἕτερον διαφέρον, ὅτι μὴ τῷ εἶναι οὐ πρὸς μέγα ἠρμένα ἀλλὰ μικροπρεπῆ τὰ τῆς ὑποθέσεως.' φέρε γὰρ εἰ τοσοῦτος ἦσαν ὄχλος τὸν ἀριθμὸν οἱ τῆς νεὼς ἐπιβάντες, εἶτ' ἀνατραπείσης ἐκείνης τοῖς ὕδασιν οἱ πάντες ἐφέροντο, εἷς δέ τις ἐκείνων ἀβλαβῶς ἔχων ἐσέσωστο πρὸς τὴν γῆν, τῶν λοιπῶν ἐναποθανόντων τοῖς ὕδασιν, οὐ μέγ' ἂν ἦν τοῦτο καὶ πλῆρες τυγχάνον θαύματος; μέγα τοίνυν ἔργον ἐπὶ μικρᾶς ἐγεγόνει τῆς ὑποθέσεως, ὡς ἄν τις ᾠκοδομηκὼς εἴη ἐπὶ μικρᾶς τινος κώμης καὶ εὐτελοῦς περιβόητόν τινα νεὼν καὶ περιφανῆ, καὶ ἐπαινοῖτο μὲν ἂν τοῦ ἔργου καὶ τῆς οἰκοδομῆς, οὐ τὸ ἴσον δ' ἂν πάντως ἔχοι καὶ ἐπὶ τοῦ χωρίου, ἐφ' οἷς μὴ πρὸς ἄξιον εἵλετο τοῦ ἔργου τόπον ἱδρύσασθαι τὸν ναόν. οἱ

γοῦν ἀφιερωθὲν αὐτοῖς ξύλον μὴ ἐάσαντες ἀπολέσθαι σχολῇ γ' ἂν ἄνθρωπον παριδεῖν ἠνίσχοντο κινδυνεύοντα. ὅσῳ τοίνυν μικρὰ τὰ τῆς ὑποθέσεως, τοσούτῳ καὶ ἀφθονία θαυμάτων τοῖς ἁγίοις προσμαρτυρεῖται. ἑνὸς οὖν ἔτι λοιπὸν μνησθέντες, καὶ τούτου προσφάτως ἤδη γεγενημένου καὶ γνωρίμου πᾶσι καταστάντος ἡμῖν τοῖς βουλομένοις, παραχωρήσομεν τῶν λοιπῶν· ὕβρις γὰρ ἂν ἐσοίμεθα τοῖς ἁγίοις ἐσχάτη, εἰ τοῖς θαύμασιν ἐπεξιέναι μόνοι πᾶσι πειρώμεθα. ῥητέον δὴ λοιπὸν καὶ τῷ λόγῳ τὸ θαῦμα δοτέον, καθόσον ἂν πάντως ἐξῇ.

Μακάριός τις καλούμενος μοναχὸς ἐκ Πελοποννήσου μὲν ὡρμημένος καὶ εὐλαβείας ἄλλως ἀντιποιούμενος, τήν γε μὴν γλῶσσαν οὐ σιωπὴν ἀσκεῖν προπαιδεύσας, ἀλλ' ἔχων χρῆσθαι ῥᾳδίως, ὅποι ἂν ἄγοι τὰ πράγματα· ὁ δὴ τοιοῦτος, οὐκ οἶδα μὲν ἐφ' οἵᾳ δή ποτ' αἰτίᾳ, οἶμαι δ' ἐπὶ τοιαύτῃ μᾶλλον ἢ ἑτέρᾳ τινί, διεβλήθη τῷ στρατηγοῦντι μερῶν τῶν ἐκεῖσε δι' ὄχλου ὡς ὢν ἅπασι τοῖς εἰς ἄρχοντας ἐκεῖ πεμπομένοις καὶ ταραχῆς καὶ στάσεως γινόμενος αἴτιος. εἴτ' οὖν ἀληθῶς ὁ λόγος ἔχων ἦν, εἴτε συκόφαντις γλῶσσα καὶ πονηρὸς κατὰ τοῦ μοναχοῦ νοῦς διεπλάσατο, λέγειν οὐκ ἔχω. ἐπέμφθη μέντοι πρὸς τὴν βασιλεύουσαν ὑπ' ἀσφαλέσι δὴ τοῖς δεσμοῖς, ὡς ἂν καιροῦ καλοῦντος ὑπὲρ ὧν ἐτύγχανεν ἐγκαλούμενος ἀποδῷ παρρησίᾳ τοὺς λόγους. καὶ περιπίπτει δή τινι φρουρᾷ καθειργμένος νοσήματι χαλεπῷ· λύσις δ' ὃν ἐκεῖνο γαστρὸς τὴν τελευτὴν ἐν γειτόνων καὶ τὸν θάνατον ἐπὶ θύραις ἐμήνυε φανερῶς. οὐ γὰρ νόσῳ μόνῃ πολιορκούμενος ἦν, ἀλλὰ καὶ πολλοῖς ἄλλοις, ἃ τοῖς ἐν δεσμοῖς οὖσιν ἑπόμενα νόσος εἶναι καθ' ἑαυτὰ καὶ δίχα τινὸς παρατροπῆς φυσικῆς δύναται καὶ πρὸ ὥρας ἐπαγαγεῖν οὐκ ἀπιστούμενα θάνατον. πρὸς οὖν τὸ τὴν νόσον καὶ τὰ ἐκ τῆς φρουρᾶς φέρειν ἐξατονήσασαν τὴν φύσιν ἰδὼν ἀναφέρει τε ἐγγράφως τῷ τῆς μονῆς προεστῶτι καὶ δῆλα ποιεῖται τὰ καθ' αὐτόν. καὶ ὃς ἀπαγγέλλει τῷ πατριάρχῃ, ὃ δὲ καὶ πρὸ τοῦ τὸν προεστῶτα ταῦτ' εἰπεῖν ἀνενεγκὼν ὑπῆρχε τῷ βασιλεῖ. οὔπω μέντοι προσέθετο καὶ ὡς ἐσχάτως ἐστὶν ἀσθενῶν· ὅθεν οὐδ' ἐπέτυχε τοῦ σκοποῦ, ἀλλ' ἐς ἐξέτασιν ἔκειτο καὶ ἔτι τὰ Μακαρίου. ὡς δ' ἐπὶ μᾶλλον ἡ νόσος ἑξῆς ἦρτο καὶ ὁ βοηθήσων οὐδείς, τοῦ φρουράρχου δεῖται ὁ προεστὼς τὰ κατὰ τὸν μοναχὸν τῷ βασιλεῖ γνωριεῖν· ὑπόπτως γὰρ ἂν εἶχεν ἀνενεγκὼν οὑτοσί, ἐς γνωρίμους πρότερον τῷ δεσμίῳ τελῶν. πείθεται τοίνυν ὁ ἐπιτετραμμένος τὴν φυλακὴν καὶ ταῖς βασιλικαῖς ἐντίθησιν ἀκοαῖς τὰ τοῦ μοναχοῦ. ὃ δ' ἔμφυτον ἔχων τὸ γαληνὸν καὶ ἐπιεικὲς καὶ οὐχ ἥκιστά γε τὸ συμπαθές, καὶ πλέον ἐλεῶν ἢ κολάζων, οὐ μόνον ἀνίησι χαρισά- Wunder 47

Wunder 47 Hs: M^2 46 σμύλῃ | 65 σμύλη

μένος τὴν ἐλευθερίαν τῷ μοναχῷ, ἀλλὰ καὶ πρὸς τὴν Χώραν οὕτω καλουμένην ἐκπέμπει μονήν. ἐπιτρέπει τε καὶ τοῖς ὡς ἄκρον τῆς τέχνης ἐληλακόσι καὶ οἰκείως ἔχουσι πρὸς αὐτὸν ἰατροῖς ἐπιμελείας τῆς προσηκούσης τὸν μοναχὸν ἀξιοῦν. οἳ δὲ πολλὰ τῶν ἐκ Γαληνοῦ καὶ Ἱπποκράτους καὶ ὅσα συνοίσειν ἁπλῶς ἐδόκει προσάγοντες καθ' ἑκάστην μοχθοῦντες μάτην ἠλέγχοντο καὶ οὐδὲν ἐκείνῳ λυσιτελοῦν οὐδὲ ἀλεξίκακον εὑρεῖν ἐδύναντο φάρμακον. ὡς οὖν οὕτω ταῦτ' εἶχε καὶ ὁ νοσῶν ἀπειρήκει καὶ οὐδέν τι δόξης ὑγείας τεκμήριον ἢ λείψανον ὑπολέλειπτο, φωνῆς ἔδοξεν ἀκοῦσαι ἀναστῆναι προτρεπομένης τῆς κλίνης· πάρεισι γὰρ ἡκότες οἱ ἰατροί. ὃ δ' εὐθὺς διαναστῆναι ἐπώμνυτο. καὶ δύο δή τινας καθ' ὕπαρ ἰδεῖν, κιρράν τινα ἠμφιεσμένους στολήν, ὁποίαν δὴ καὶ οἱ πρὸ τῶν ἡμετέρων εἰκονισθέντες πυλῶν ἐνδιδυσκόμενοι φαίνονται. καὶ ἐπιστάντων σκεῦός τι διαφόρων πλῆρες εἰδῶν τῶν κόλπων ἅτερον ἐκβαλεῖν, ἐπιτραπῆναί τε πρὸς τοῦ ἑτέρου ἑνὶ τῶν ἐνόντων ἐπιχρίσαντα εἴδει τῷ σκεύει μεταδοῦναι ὑγείας καὶ τοῦ εὖ ἔχειν τῷ πάσχοντι. καὶ ὃς θᾶττον ἢ ἐκεῖνος ὑπῆρχε προστεταχὼς ἐπλήρου δὴ τὰ τῆς ἐντολῆς καὶ σμίλῃ δή τινι ὃ εἶδος ἀκούσειε περιθεὶς κατά τε τοῦ στήθους καὶ τοῖν γονάτοιν ἀμφοῖν ἐσφράγισε τρίς· εἶθ' οὕτως ἀπιέναι ἦσαν δῆλοι τὰ πρόσφορα συνταξάμενοι. ὡς δ' εἰς ἑαυτὸν ἧκεν ὁ ταῦτ' ἰδὼν ἐκεῖνος καὶ παθὼν μοναχός, ᾤετο μὲν τὰ πρῶτα τῶν ἐν ταῖς βασιλείοις εἶναί τινας ἄλλους παρὰ τοὺς πεμφθέντας αὐλαῖς ἰατρῶν. ἐξένιζε δὲ καὶ οὐκ εἴα πιστεύειν μηδὲ προσίεσθαι τὸ παράπαν ὡς ἀληθὲς τό τ' ἀσύνηθες τῆς εἰσόδου (οὐ γὰρ διὰ τῶν τῆς μονῆς ἦσαν εἰσελθόντες πυλῶν, ἀλλὰ διά τινος τῇ ἀμπέλῳ ἐπούσης σμικρᾶς καὶ στενοτάτης θυρίδος) τό τε διάφορον τῆς στολῆς καὶ παρηλλαγμένον τῶν ἱματίων (ἄλλως γὰρ ᾔδει τοὺς ὡς βασιλέα φοιτῶντας τῶν ἰατρῶν ἐστολίσθαι)· οὗ χάριν καὶ ὁποῖοί τινες εἶεν ἐπιμελῶς ἤρετο. οἳ δὲ τῆς Κοσμιδίου μὲν ἔφασαν εἶναι μονῆς ἰατροί, πρὸς δέ γε τοῦ προεστῶτος ἐστάλθαι προνοίας αὐτὸν ἀξιῶσαι τῆς προσηκούσης. καὶ ταῦτ' εἰπόντες καὶ δράσαντες οἱ φανέντες δι' ἧς πρώην ἐτύγχανον εἰσελθόντες ἐξῄεσαν ἄφνω. ὃ δ' ἐκ τῆς σφραγῖδος ἀναρρωσθεὶς δρομαῖος ἧκε πρὸς τὴν μονὴν καὶ ὅσα δὴ προσῆκεν ἐπευχαριστήσας τοῖς εὐηργετηκόσι τὸ εἰς ἑαυτὸν γεγονὸς ὑπὸ πολλοῖς μάρτυσιν ἐξηγήσατο καὶ σύμβολά τινα ταῖς σφραγῖσιν ἐκείναις ἐνσημανθέντα ἡμῖν ὑποδεδειχώς· οὐ γὰρ ἂν ἡ τῇ ἐμπλάστρῳ ἐπικεχρισμένη σμίλη ἐκείνη ἐπιτεθείη, καυτῆρος δίκην ὥς γέ τι σύσσημον ἐναργὲς ἐντετύπωκε τῇ σαρκί. καὶ νῦν ἔστιν ἐνταῦθ' ὁ μοναχὸς ἐνδημῶν, οὐ πρὸς γωνίαν οὐδ' ἐν ἑνί γέ τῳ μέρει ἀλλὰ πρὸς τὰς τῆς πόλεως πλατείας καὶ ἀγυιὰς διαγγέλλων τὸ θαῦμα καὶ σωτῆρας μόνους μετὰ θεὸν τούτους ἐπιγραφόμενος.

Θαῦμα τῶν ἁγίων καὶ ἐνδόξων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ Wunder 48

Πάσης αἰνέσεως καὶ σοφίας ὑπέρκειται ὁ λόγος τῶν σοφῶν καὶ ἐνδόξων ἰατρῶν, καὶ πᾶσιν ῥῶσιν παρέχοντες. τοῦ γὰρ ὑψίστου χάριν λαβόντες ἀοράτως τὴν ῥῶσιν δωροῦνται πᾶσιν, ὅθεν κἀμοὶ διηγήσεως χάριν. αὐτοὶ γὰρ οἱ ἔνδοξοι ἀνάργυροι Κοσμᾶς καὶ Δαμιανὸς ἐν χώρᾳ ἦσαν τῆς Νικομηδείας, ἰατρεύοντες τοὺς πάντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ δῶρον οὐκ ἐλάμβανον, ἀλλὰ τοὺς πάντας ἰάτρευον· τυφλοῖς τὸ φῶς ἐδωρήσαντο, λεπροὺς ἐκαθάριζον, χωλοὺς ὑγίαινον, τὰ δαιμόνια ἐξ ἀνθρώπων ἐξέβαλλον· πολλὰ γὰρ θαύματα ἐποίουν οἱ ἅγιοι ἀνάργυροι. μετὰ δὲ τὰ θαύματα τῶν ἁγίων ἠκούσθησαν πανταχοῦ. ἦν δέ τις ἄνθρωπος ἐν τῇ χώρᾳ τῇ Σεβαστιανῇ ἔχων σκόλοπα ἐν τῷ δεξιῷ αὐτοῦ ποδί, καὶ πάντα του τὰ ὑπάρχοντα οἱ ἰατροὶ κατηνάλωσαν καὶ οὐδὲν ὠφέλησαν αὐτῷ, ἀλλὰ μᾶλλον εἰς τὸ χειρότερον προάγει. ἤκουσεν δὲ καὶ τὰ θαύματα τῶν ἐνδόξων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, καὶ ἐλθὼν ἐν τῷ οἴκῳ αὐτῶν καὶ λέγει πρὸς τοὺς ἁγίους· 'δέομαί σας, ἅγιοι, διὰ τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ποιήσατε καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ ἔλεος, ἵνα δώσητε μοι θεραπείαν ἐν τῷ δεξιῷ μου ποδί.' καὶ ἐλθόντες οἱ ἅγιοι σκεπάζοντες τὰς ῥῖνας αὐτῶν· ἤδη γὰρ ὦζε, ὅτι καὶ τὸ ὀστέον αὐτοῦ εἰς ἀπώλεσμα ἦν. λέγουσιν δὲ οἱ ἅγιοι· 'οὐ δυνάμεθα ἡμεῖς εἰς αὐτὴν τὴν πληγὴν ἰατρεῦσαί σε, ἀλλὰ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός σου δώσει τὴν ἰατρικὴν χάριν.' ὃ δὲ μετὰ κλαυθμοῦ ἔλεγεν· 'ποιήσατε καὶ εἰς ἐμὲ τὸν ἁμαρτωλὸν ἔλεος, ἅγιοι.' ὧδε λέγουσιν αὐτοῦ οἱ ἅγιοι· 'ἄπελθε ἐν τῷ οἴκῳ ἡμῶν καὶ ἀναπαύου καὶ πρόσευξαι τὸν θεόν σου μετὰ πόθου καρδίας· καὶ ἡμεῖς δεόμενοι τοῦ θεοῦ, καὶ ἡμῶν δείξει ὁ κύριος, ⟨ὅ τι⟩ ποιήσωμέν σοι.' καὶ ἐξῆλθον δεόμενοι τοῦ θεοῦ. καὶ τὴν ἕκτην ὥραν τῆς νυκτὸς ἐλθὼν ὁ ἄγγελος Ῥαφαὴλ καὶ λέγων πρὸς αὐτούς· 'ἀπέλθατε ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος κοινοβιάρχου· ἔστιν ἄνθρωπος κεκοιμημένος. καὶ ἀπέλθατε εἰς τὸ μνημεῖον· ὑπάρχει γὰρ ἡμέρας τέσσαρας κεκοιμημένος. λάβετε τὸν δεξιὸν πόδαν αὐτοῦ καὶ βάλετε εἰς τοῦ ἀνθρώπου, ὃς ἔχων τὸν σκόλοπα, εἰς ὑπουργίαν αὐτοῦ. καὶ εἰς τὴν ἡμέραν τῆς ἀναστάσεως λάβῃ ἕκαστος τὸ μέλος αὐτοῦ, ὅτι μετὰ μεγάλης πίστεως πρὸς τὸν θεὸν ἦλθον πρὸς σᾶς· θέλει γὰρ ὁ

Wunder 48 Hs: *v* 3 *καὶ μοὶ* | 4 *αὐτῇ* | 5 *ἦσαν*] *ἦν* | 7 *ἐδωήσατω* | 8 *εκαθερίζων* | *χονλοῦς* | 11 *σεβασθη ἀνω̄* | *πόδᾶν* | 12 *κατινάλλωσσαν* | 18 *ὤζη* | 19 *τ. ὀστ.*] *τῶ σθέων* | 20 *ἰατρ. σε*] *εἰ ἀτρέσησε* | 22 *κλαθμου*, über dem *ου* ein iotaförmiges Zeichen (der Circumflex?) | *εἰς ἐμὲ*] *ή σεβαι* | 24 *μεσά* | 28 *κύνοβϊἄρχη* | 29 *μνημήα* | 30 *τέσσαρης* | 31 *ὃς*] *ὡ* | 32 *μέλος*] *μέγγας* | 33 *θέλω* |

κύριος δοξάσαι καὶ τοὺς ἁγίους ἀναργύρους.' ἔβλεπε δὲ καὶ ὁ ἔχων τὸν σκόλοπα, ὅτι ἀπέτεμόν τινες τὸν δεξιὸν αὐτοῦ πόδα καὶ πλησίου ἀνθρώπου δεξιὸν πόδα βαίνοντα· καὶ ἔβλεπεν γὰρ τοῦτο ἐν κατ' ὄναρ. λέγει δὲ Δαμιανὸς τῷ Κοσμᾷ· 'ἀδελφὲ Κοσμᾶ, φοβοῦμαι μή πως ἀπατᾷ ἡμᾶς ὁ διάβολος, ἵνα θανατώσωμεν τὸν ἄνθρωπον.' λέγει δὲ αὐτῷ ὁ Κοσμᾶς· 'οὐχί, παῦσαι τὴν γλῶσσάν σου, ὅτι ἄγγελος κυρίου ἦν.' καὶ μετὰ ταῦτα ἦλθεν πάλιν ὁ ἄγγελος κυρίου καὶ εἶπεν· 'ὡς ἐλάλησα ὑμᾶς, οὕτως ποιήσατε.' οἳ δὲ ἐλθόντες ἔκοψαν τοῦ κεκοιμημένου τὸν δεξιὸν πόδα· καὶ ἔκοψαν καὶ τοῦ ἔχοντος τὸν σκόλοπαν ἐκ τοῦ γόνατος καὶ ἔθηκαν τοῦ κεκοιμημένου τὸν πόδαν εἰς τοῦ ἀνθρώπου εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ ἅμα τὸν λόγον τῆς ἁγίας τριάδος ηὑρέθη ὁ ἄνθρωπος ὑγιής, καὶ ἰδόντες οἱ ἅγιοι ἐδόξασαν τὸν θεόν. καὶ ἐλθόντες ἀπέβαλον καὶ τοῦ ἔχοντος τὸν σκόλοπαν εἰς τοῦ κεκοιμημένου ἐπ' ὄνομα τῆς ἁγίας τριάδος· καὶ ὡς ἦν ὁ πόδας τὸ πρότερον, οὕτως εὑρέθη κεκολλημένος. λέγουσιν δὲ οἱ ἅγιοι· 'δόξα τῇ βασιλείᾳ σου, κύριε· δόξα τῇ ἀγαθωσύνῃ σου, κύριε.' λέγουσιν δὲ οἱ ἅγιοι τῷ ἀνθρώπῳ· 'εἶδες, ἀδελφέ; τίς σοι ἐδωρήσατο τὴν ἰατρικήν;' λέγει δὲ οὗτος πρὸς τοὺς ἁγίους· 'ἐγὼ εἶδον ἐν κατ' ὄναρ, ὅτι ἄνθρωποι ἦλθον καὶ ἔκοψαν τὸν πόδα μου· καὶ ἐβαλλόμην ἑτέρου ἀνθρώπου ποδί, καὶ ἄρτι βλέπω καὶ τὸν πόδα μου ὑγιαίνοντα, καὶ μόνον ἡ προχάραξις τοῦ ποδὸς καταπλήττει μου τὸν νοῦν.' οἳ δὲ λέγουσιν αὐτῷ· 'ἄπελθε, ἀδελφέ· κεκύρωται τὰ μεγαλεῖα τοῦ θεοῦ, ὅτι ἡ πίστις σου σέσωκέ σε.' καὶ ἀπῆλθε εἰς τὸν οἶκον αὐτοῦ μετὰ χαρᾶς μεγάλης. οἱ οὖν γείτονες καὶ οἱ γνώριμοι οὐκ ἐπίστευον, ὅτι ἔκοψαν τὸν πόδα αὐτοῦ, ἕως ὅτου ἦλθον εἰς τὸ μνημεῖον καὶ εἶδον καὶ τὸν πόδαν. καὶ ἐπίστευσαν, ὅτι ἀληθῆ εἰσιν ἅπερ ἔλεγεν αὐτοῖς, καὶ ἐδόξασαν ἅπαντες τὸν θεὸν τὸν δόντα τὴν τοιαύτην θεραπείαν τοῖς ἐλπίζουσιν ἐπὶ τὸν θεόν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Römisches Martyrium

Μαρτύριον τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ 230

1 Μετὰ τὴν κατὰ σάρκα τοῦ δεσπότου ἡμῶν Χριστοῦ ἐπὶ γῆς ἔλλαμψιν ἔνεστιν ἀκούειν πάντων ὁμοῦ τῶν ἁγίων Χριστοῦ μαρτύρων τὴν πολιτείαν καὶ θαυμάζειν τὴν ἐν αὐτοῖς τοῦ σωτῆρος δύναμιν καὶ

---

35 ἀπετοῦ τοϊνες̈ | 36 βάνωντα | τούτων | 41 ἡμᾶς | 45 ηὑρέθην | 46 ἰδόντες] εἰδότες | ἐλθώντε | αἔβαλων | 48 εὑρέθην | 51 οὗτος] ου über der Zeile | 55 οἱ] ὁ | κεκύρηται | 57 οἱ nach οὖν zugefügt | 60 ἔλεγεν] ἤλεγγεν

Römisches Martyrium Hss: $P^1 V^{59} m^2$ Titel ἀναργύρων fehlt in V^9 | ἐπὶ καρίνου βασιλέως nach Δαμιανοῦ zugefügt in V^9 μαρτυρησάντων εν Ῥώμῃ ὑπὸ Καρίνου τοῦ βασιλέος in m^2 || 1,1 ἰησοῦ vor Χριστοῦ zugefügt in V^5 | 2 Χριστοῦ] fehlt in m^2 αὐτοῦ nach μαρτύρων V^5 | 3 ἐνάρετον vor πολιτείαν zu-

τὴν αὐτῶν τῶν καλλινίκων μαρτύρων ἔνστασίν τε καὶ καρτερίαν. πλέον δὲ πάντων ὡς εἰπεῖν καὶ ἐνδοξότερόν ἐστι θεάσασθαι τὴν τῶν ἁγίων τούτων ἐνάρετον πολιτείαν Κοσμᾶ καὶ Δαμιανοῦ. ἰατροὶ γὰρ ὑπάρχοντες τὴν τέχνην οὐρανόθεν χάριν εἰλήφασιν, αὐτὸν τὸν θεὸν εἰς πάντα συνεργὸν αὐτῶν ὄντα, καὶ οὗ ἂν ἐπέβαλλον θεραπεύειν, παρῆν αὐτοῖς ὁ Ἰησοῦς, τοῖς πάσχουσι σωτηρίαν δωρούμενος. εἴτε οὖν ἐπ' ἀνθρώπων, εἴτε ἐπὶ ἀλόγων ζῴων ἐπετίθεσαν οἱ ἅγιοι τοῦ Χριστοῦ θεράποντες τὰς ἑαυτῶν χεῖρας, εἶχον ἕτοιμον εἰς ἅπαντα τὴν ἀκαταμάχητον δύναμιν τοῦ δεσπότου Χριστοῦ συνεργοῦσαν εἰς αὐτούς, αὐτοῦ τοῦ κυρίου πληροῦντες τὴν ἐντολὴν τὴν φάσκουσαν· 'δωρεὰν
232 ἐλάβετε, δωρεὰν δότε.' | τοῦτο γὰρ τὸ παράγγελμα ἐποίουν καθ' ἑκάστην ἡμέραν οἱ τῆς εὐσεβείας ἀγωνισταί· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὰ περιόντα αὐτοῖς ἐκ προγόνων κτήματα πωλοῦντες τοῖς πτωχοῖς μετεδίδουν. ὡς δὲ τοιαύτας ἰάσεις οἱ ὅσιοι ἐπετέλουν ἐν τῷ τοῦ κυρίου Ἰησοῦ ὀνόματι, μηδένα τὸ σύνολον παρά τινος λαμβάνοντες μισθόν, ἢ μόνον εἰ πιστεύσοι εἰς τὸν Χριστὸν ὁ τῆς ἰάσεως μέλλων ἀπολαύειν· τοῦτον γὰρ ἔλεγον τοῖς προσιοῦσιν χορηγεῖν τὰς ἰάσεις ἀοράτῳ δυνάμει, 'ἡμῶν τὰς χεῖρας μόνον ἐπιτιθέντων, οὐδὲν τῇ οἰκείᾳ δυνάμει ποιεῖν ἰσχυόντων μὴ παρόντος ἐκείνου, ᾧ καὶ πιστεύειν μέλλετε, δι' οὗ καὶ ἡμεῖς ἃς ὁρᾶτε γινομένας ἰάσεις ἐπιτελοῦμεν.'

ἐν τούτοις ὁσημέραι κατορθούντων τῶν Χριστοῦ ἀγωνιστῶν, ἐν 2

1, 18 Matth. 10,8

gefügt in V^{9} | καὶ vor θαυμ. fehlt in m^{2} | ἐν] ἐπ' V^{9} m^{2} | 4 μαρτύρων fehlt in V^{9} | 5 δὲ fehlt in V^{5} | ἐστιν ἐνθεάσασθαι V^{5} | 6 τούτων] μαρτύρων V^{5} | τε nach Κοσμᾶ zugefügt in V^{5} | 7 τῇ τέχνῃ V^{59} | αὐτὸν] πρῶτον ἔχοντες V^{5} | θεὸν fehlt in V^{9} | 8 συνεργὸν — ὄντα] συνεργοῦντα αὐτοῖς V^{9} | αὐ. ὄντα fehlt in V^{5} αὐτῶν in m^{2} | οὗ] ὅπου V^{9} ὅπου δ' V^{5} | ἐπεβάλλοντο V^{59} | 9 παρῆν] παρεῖχεν V^{5} | τὴν nach πάσχουσι zugefügt in V^{59} | σωτηρίαν] ὑγίαν V^{5} | 10 ἀνοῖς V^{5} | καὶ nach εἴτε zugefügt in V^{59} | ἄλογα ζῶα V^{5} | ἐπιτίθεσαν m^{2} ἐπετίθουν V^{59} | ἅγιοι fehlt in V^{5} m^{2} | 11 πάντα V^{5} | 12 δεσπότου fehlt in V^{5} | συνεργοῦσαν — ἐντολὴν (13)] τ. ἐντ. αὐτοῦ πληρ. V^{5} | ἐνεργοῦσαν V^{9} | 13 τ. ἐντ. πληρ. V^{9} | τὴν vor φάσκ. fehlt in m^{2} | 14 γὰρ] δὲ V^{59} | καθ' ἑκ. ἐποίουν τὴν ἡμ. V^{59} | 16 ἐκ πρ. κτ.] ἐκ πρ. χρήματα καὶ κτ. V^{9} πράγματα V^{5} | 17 ὅσιοι] ἅγιοι V^{9} | ἐν τ. ὀν. Ἰη. V^{9} | 18 κυρίου fehlt in V^{5} Ἰησοῦ in m^{2} | μηδὲν V^{59} | λαμβ. παρά τιν. V^{9} | 19 μισθόν] μησθοῦ χάριν V^{5} | ἢ] εἰ μὴ V^{59} | εἰ] εἰὲν V^{5} ἵνα V^{9} | πιστεύσοι] fehlt in V^{5} πιστεύσει V^{9} | τὸν fehlt in V^{59} | ὁ fehlt in V^{5} | μέλλοντες V^{5} | 20 ζητοῦντες nach ἀπολαύειν zugefügt in V^{5} | 21 ἡμῶν] εἰ μή τι V^{5} | μόνον fehlt in V^{9} | ἐπιτιθούντων V^{5} | γὰρ nach οὐδὲν zugefügt in V^{5} | 22 ἰσχυόντων] τι ἰσχύομεν V^{5} | 23 ἃς] ὡς V^{9} | γινομένας fehlt in V^{5} || 2,1 κατορθούντων — μεταδόσει (2)] τοῖς κατορθώμασιν προκόπτοντες οἱ ἅγιοι τοῦ χριστοῦ ἀγωνισταὶ ἔντες (l. ἐν ταῖς) τῶν ἀσθενούντων ἰάσεις (l. ἰάσεσι) καὶ τῇ τῆς ἐλεημοσύνης μεταδόσει πάντας εὐεργέτουν, τὰ σπλάγχνα ἀνοίγοντες τοῖς δεομένοις,

ταῖς τῶν ἀσθενούντων ἰάσεσιν καὶ τῇ τῆς πτωχοτροφίας μεταδόσει, οὐκ ἤνεγκεν ὁ βάσκανος ἰδεῖν τῶν θεοφόρων μαρτύρων τὰς μαρμαρυγάς, ἀλλὰ καθοπλίζει τινὰς κατ' αὐτῶν, εὑρὼν ἐπιτήδεια ἑαυτῷ ὄργανα τῶν ἐν τῇ | χώρᾳ οἰκούντων εἰς φθόνου πάθος ἐλθεῖν. καὶ σπουδὴν ταύτην 234
ἐσχηκότες ἀπελθόντες ἀνήγγειλαν τῶν θεοφόρων μαρτύρων τὴν ἄκραν ἀρετὴν καὶ τὴν ὑπερβάλλουσαν πολιτείαν καὶ τὴν εἰς πάντας αὐτῶν ὑπάρχουσαν γνησίαν ἀγάπην. ταῦτα δὲ ἔλεγον οἱ ἀπελθόντες οὐκ ἐπαινοῦντες τοὺς ἁγίους, ἀλλὰ διαβάλλοντες αὐτοὺς Καρίνῳ τῷ βασιλεῖ, ἀπαγγέλλοντες ὅσα θαυμάσια ποιοῦσιν οἱ ἅγιοι εἰς τοὺς ἀσθενοῦντας. πλέον δὲ εἰς ὀργὴν τὸν βασιλέα κινῆσαι βουλόμενοι ἔλεγον πρὸς αὐτόν· 'βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι, καὶ οἱ θεοὶ ἡμῶν σύν σοι δι' αἰῶνος ζῶσιν. εἰσὶ δέ τινες παρ' ἡμῖν ἰατροὶ τὴν τέχνην ὀνόματι Κοσμᾶς καὶ Δαμιανός, μεγάλας δυνάμεις ποιοῦντες ἐν τῷ τοῦ Ἰησοῦ ὀνόματι, καὶ μισθοὺς παρὰ τῶν θεραπευομένων οὐ λαμβάνουσιν, ἀλλὰ καὶ τὰ ὑπάρχοντα αὐτοῖς χρήματα τοῖς δεομένοις χορηγοῦσιν.' ταῦτα παρὰ τῶν διαβαλλόντων ἀκούσας ὁ βασιλεὺς Καρῖνος, δέον ἐπαινέσαι καὶ θαυμάσαι τῶν νεολέκτων Χριστοῦ δούλων τὴν ἀρετὴν καὶ μάλιστα τὰς ὑπ' αὐτῶν ἀμισθὶ γινομένας ἰάσεις, ἔτι μὴν καὶ ὅτι τοῖς δεομένοις ἦσαν | παραμυθία, ἐπαρκοῦντες αὐτοῖς καὶ πληροῦντες 236
τῆς ἐνδείας τὸ λεῖπον, τὰ ἴσα τοῖς διαβάλλουσι φρονήσας ἐκέλευσεν αὐτοὺς παραστῆναι, ὡς ἀλάστορας ὄντας καὶ κακούργους καὶ λυμεῶνας ὑπάρχοντας τῆς χώρας τοὺς εὐεργέτας τῆς χώρας.

3 ὡς δὲ ἀπῆλθον οἱ ἀπεσταλμένοι παρὰ τοῦ βασιλέως καὶ ἦλθον ἐπὶ τὴν κώμην, ἐν ᾗ ἦσαν οἱ ἅγιοι, ἠρώτων, εἰ εἰσί τινες ἐνταῦθα ἰατροί, ὀνόματι Κοσμᾶς καὶ Δαμιανός. καὶ ἀποκριθέντες εἶπον· 'ναί, εἰσίν· τί δὲ αὐτῶν χρείαν ἔχετε;' οἱ δὲ εἶπον ὅτι· 'τῷ βασιλεῖ ἀπηγγέλη περὶ αὐτῶν, ὡς ὅτι πατρῴους θεσμοὺς ἀθετοῦσιν καὶ οὔτε τῇ τῶν θεῶν δυνάμει τὰς ἐνεργείας τῶν ἰάσεων ἐπιτελοῦσιν, ἀλλ' ἐπὶ

ἀλλ' V^5 | τοῦ vor Χριστοῦ zugefügt in V^9 | 2 τῇ fehlt in V^9 | 3 καὶ πανπόνηρος διάβολος nach βάσκανος zugefügt in V^5 | ἀλλὰ] γάρ nach καθοπλίζει (4) V^5 | 4 εὑρὼν — ἀνήγγειλαν (6)] τῶν ἐν τ. χ. οἰκ. εὑρ. ἐπιτ. ὀργ. ὄντας τὸ τοῦ φθόνου πάθος εἰσδέξασθαι. οἵτινες ἐν σπουδῇ ἀπελθόντες διέβαλλον αὐτοὺς καρίνω τῷ βασιλεῖ ἀπαγγέλλοντες V^5 | ἐπιτ. ἑαυ. εὑρ. V^9 | 6 τ. ἄκρ. ἀρ. κ. fehlt in V^5 | 7 ἀγαθὴν vor πολιτείαν zugefügt in V^5 | αὐ. ὑπάρχ. fehlt in V^5 | 8 οἱ ἀπελθ. fehlt in V^5 | 9 διαβάλλοντες — ἅγιοι (10)] ψέγοντες ὡς ἐκ μαγίας τὰ θαυμάσια ποιοῦντας V^5 | 13 ζῶσιν] τὰς ὀφιλομένας τιμὰς ἀπολαμβάνουσιν παρ' ἡμῶν V^5 | εἰσὶ δέ] εἰσίν V^{59} | τῇ τέχνῃ ὀνομαζόμενοι V^5 | 15 ὀν. τ. Ἰη. V^9 | 17 βασιλεὺς] δείλαιος V^{59} | 18 καὶ θαυμάσαι fehlt P^1 m^2 | τὴν vor τῶν V^5 | 22 ἀλάστ. — κακ.] κακ. κ. ἀλ. V^9 | 23 ὑπάρχοντας fehlt in V^5 | τοὺς — χώρας fehlt in V^5 τ. χώρας in m^2 || 3,2 ἠρότουν V^5 | 3 ὀνομαζόμενοι V^5 | 4 τῆδε V^5 | ἔχετε] ποιεῖσθαι V^5 | ἀπανγγέλη V^9 | 5 τοὺς

ἀλλοτρίῳ τινὶ ὀνόματι μαγικῇ τέχνῃ ποιοῦντες ἐξαπατῶσι τοὺς προσ-
ιόντας αὐτοῖς, ἀθετοῦντες καὶ τὴν τῶν ἀηττήτων ἡμῶν θεῶν λατρείαν.
καὶ ἔπεμψεν ἡμᾶς, ὅπως σπουδῇ παραστήσωμεν αὐτούς.' ἀκούσαντες
δὲ ταῦτα οἱ ἐν τῇ χώρᾳ, ἔνθα διῆγον οἱ ἅγιοι, καὶ ἐν πολλῇ ἀθυμίᾳ
γενόμενοι, ὡς μέλλοντες ἀποστερεῖσθαι τῆς τῶν ἁγίων παρουσίας, ἔτι
δὲ καὶ οἱ τῆς ἀναγκαίας τροφῆς λειπόμενοι, παρεκάλουν τοὺς ἁγίους
κρυβῆναι, ἕως παρέλθῃ ἡ ὀργὴ τοῦ βασιλέως. οἱ δὲ γενναῖοι τῆς
238 εὐσεβείας | ἀγωνισταὶ οὐκ ἠνείχοντο, βουλόμενοι τὴν μαρτυρίαν αὐτῶν
τελέσαι, σκοπὸν ἕτοιμον εὑρόμενοι τὴν τοῦ ἀνόμου βασιλέως ἀκόλου-
θον καὶ παράνομον ὀργήν. ἐν δὲ τῷ αὐτοὺς διισχυρίζεσθαι, ὥστε
λαβόντας αὐτοὺς ἀπαγαγεῖν τῷ ἀποστείλαντι βασιλεῖ, συνῆλθον πᾶσαι
αἱ πέριξ χῶραι μετὰ σπουδῆς καὶ ἥρπασαν τοὺς ὁσίους καὶ ἀπέκρυψαν
ἐν σπηλαίῳ τινὶ ἀποκρύφῳ.

ἀπελθοῦσα δὲ ἡ περίχωρος ἐκείνη πρὸς τοὺς ἀπεσταλμένους παρὰ **4**
τοῦ βασιλέως ἠξίουν αὐτοὺς ἀποστῆναι, ὡς οὐδὲν τῶν ἁγίων δρασάν-
των κακὸν οὔτε μὴν λυμαινομένων τὴν χώραν, ἀλλὰ μᾶλλον καὶ
εὐεργετῶν αὐτῶν ὄντων καὶ σωτῆρας ὑπάρχοντας τῶν καμνόντων καὶ
τροφέας τῶν δεομένων. τοὺς οὖν οὐδὲν ἀδικεῖν μεμαθηκότας, μᾶλλον
δὲ καὶ ὠφελεῖν τοὺς προσιόντας εἰθισμένους, μὴ δεῖν πάσχειν κακόν.
οἳ δὲ οὐκ ἠνείχοντο ὡς εἰς τοῦτο αὐτὸ ἀπεσταλμένοι καὶ ἐντολὰς
ἔχοντες παρὰ τοῦ αὐτοκράτορος Καρίνου εἰς τὸ ἀπαγαγεῖν αὐτούς.
περιελθόντες δὲ πᾶσαν τὴν χώραν ἐκείνην καὶ μὴ εὑρόντες αὐτοὺς
θυμῷ ἀγρίῳ πλησθέντες παρέλαβον μεθ' ἑαυτῶν ἀντὶ τῶν ἁγίων
240 ἄνδρας τε καὶ γυναῖκας καὶ ἐμβαλόντες αὐτοῖς | κλοιὰ ἤγαγον αὐτοὺς
τῷ βασιλεῖ.

τοῦτο δὲ ἐγένετο ἀγνοούντων τῶν ἁγίων· καὶ γὰρ ἦσαν πολλὰς **5**
ἡμέρας ἐν τῷ σπηλαίῳ κεκρυμμένοι, καὶ οὐκ ἔφαγον οὐδὲ ἔπιον,
εὐφροσύνην ἰδίαν ἡγούμενοι τὸ ἐν τῇ προσευχῇ προσκαρτερεῖν, πάσης

---

nach ὅτι zugefügt in V^{59} | θεοὺς V^9 m^2 | τῇ fehlt in V^9 | 8 ἀθετοῦσιν V^9 | 9 σπουδαίως V^5 | παραστῶμεν V^9 | 10 ταῦτα fehlt in V^5 | τοῦ θεραπεύην nach ἅγιοι zugefügt in V^9 | 11 γενάμενοι V^9 | μέλλουσιν V^5 | ἀποστήναι V^9 | παρρησίαν V^9 | 12 λειπόμενοι] δεόμενοι V^{59} | 13 ἂν nach ἕως zugefügt in V^{59} | γενναῖοι] ἅγιοι ὡς V^5 ἅγιοι τοῦ θ͞υ καὶ V^9 | 15 εὑράμενοι V^{59} | ἀνοσίου V^{59} | ἀνακόλουθον V^{59} | 16 δὲ fehlt in V^9 | 17 λαβόντες V^5 | αὐτοὺς vor βασιλεῖ zugefügt in m^2 | 18 περίχωραι V^9 || 4,1 δὲ] τε m^2 | πᾶσα vor ἡ zugefügt in V^{59} | 3 μὴν] μὴ V^9 | 4 αὐτῶν fehlt in V^9 | σωτῆρας — καμνόντων] σωτ. ὑπάρχ. V^9 ἰατρῶν τῶν νοσούντων V^5 | 5 τροφέων V^{59} | μηδὲν V^9 | ἀδικεῖν] ἄδικόν ποτε V^5 | 6 ὀφελοῦντας V^5 | τοὺς vor εἰθισμένους zugefügt in V^5 | μηδὲν V^5 | κακῶς V^9 m^2 | 7 ἠνίσχοντο V^9 | αὐτοὺς V^9 | ἀποσταλμένοι V^5 ἀπεσταλμένους V^9 | 8 εἰς τὸ] τοῦ V^9 | ἀγαγεῖν V^9 | 9 περίχωρον V^5 | 11 ἐμβάλλοντες V^5 | ἦγον V^9 ἀπήγαγον V^5 | αὐτοὺς fehlt in V^9 || 5,2 ἐν τ. σπηλ. fehlt in V^5 | κρυπτόμενοι m^2 | ἔπινων V^5 | 3 ἰδίαν] τὴν ἔνδιαν V^5 | τὸ — ἀνωτέραν (4)]

τρυφῆς ἀνωτέραν λογισάμενοι τὴν πρὸς τὸν θεὸν ὑμνῳδίαν τε καὶ ἀγρυπνίαν. ἀκούσαντες δὲ ἐν τῷ σπηλαίῳ οἱ γενναῖοι τοῦ Χριστοῦ ἀγωνισταί, ὅτι συνελήφθησαν δι' αὐτοὺς ἄνδρες τε καὶ γυναῖκες καὶ ἀπάγονται δέσμιοι τῷ βασιλεῖ, εὐθυδρομήσαντες ἐξῆλθον ἀπὸ τοῦ σπηλαίου καὶ μετὰ πάσης προθυμίας καταδιώξαντες τοὺς δημίους ἔφθασαν αὐτοὺς ἐν τῇ ὁδῷ λέγοντες· 'ἡμεῖς ἐσμεν οἱ παρ' ὑμῶν ζητούμενοι· ἀπολύσατε τούτους ὑπάγειν εἰς τὰ ἴδια, ἔχοντες ἡμᾶς, εἰ βούλεσθε, ἀπαγαγεῖν πρὸς τὸν ἀποστείλαντα ὑμᾶς βασιλέα.' ἰδόντες δὲ οἱ δήμιοι τοὺς ἁγίους κατέσχον αὐτοὺς καὶ ἀπέλυσαν τοὺς συλληφθέντας ἐκ τῆς χώρας, παραλαβόντες δὲ οἱ δήμιοι τοὺς ἁγίους ἤγαγον αὐτοὺς ἐν τῷ παλατίῳ.

6 καὶ γνωστὸν ἐγένετο τῷ βασιλεῖ περὶ αὐτῶν, καὶ τῇ ἑξῆς καθίσας ὁ βασιλεὺς ἐπὶ τοῦ θρόνου αὐτοῦ ἐκέλευσεν αὐτοὺς εἰσαχθῆναι. εἰσαχθέντων δὲ αὐτῶν εἶδεν αὐτοὺς ὁ βασιλεὺς καὶ μεγάλῃ τῇ | φωνῇ 242
ἀνακέκραγε λέγων· 'ὑμεῖς ἐστε οἱ τοῖς πατρῴοις ἡμῶν θεοῖς ἀντιπίπτοντες καὶ τέχνῃ τινὶ μαγικῇ θεραπεύοντες τὰ πάθη τῶν ἀνθρώπων, ἔτι δὲ καὶ τῶν ἀλόγων ζῴων; καὶ ἀμισθὶ τοῦτο ποιεῖτε εἰς πλείονα ἀπάτην καὶ ἀπώλειαν τοῦ γένους τῶν ἀνθρώπων, πείθειν αὐτοὺς πειρώμενοι ἀποστάτας γενέσθαι τῶν πατρῴων θεῶν ἀπὸ τοῦ δωρεὰν θεραπεύειν τοὺς ἀσθενοῦντας καὶ τοῖς δεομένοις πάλιν τῶν ἀναγκαίων ἐπαρκοῦντες, ὑποκρίσει φιλοπτωχίας πᾶσαν τὴν χώραν λυμαινόμενοι; ἀλλ' ὀψέ ποτε ἐπιστρέψαντες ἀπὸ τῆς προτέρας ὑμῶν ἀγνοίας, ἀνασχόμενοί μου ὡς φιλοστόργου πατρὸς ὑμῶν ἀγαθῆς παραινέσεως συμβουλίαν ὑμῖν προσαγαγόντος, πείσθητέ μοι καὶ προσελθόντες θύσατε τοῖς ἀηττήτοις ἡμῶν καὶ ἀνεξικάκοις θεοῖς καὶ ἐξιλεώσασθε τὸ εἰς ὑμᾶς αὐτῶν μακρόθυμον, οἳ καὶ παρορώμενοι παρ' ὑμῶν καὶ ἀθετούμενοι οὐκ ἠμύναντο καίπερ δυνάμενοι, ἀλλὰ καὶ τὰς παρ' αὐτῶν ἰάσεις ὑμῖν ἐνεργοῦντες οὐκ ἐπαύοντο, τὴν ἰδίαν φιλανθρωπίαν μιμούμενοι.'

καὶ V^5 | 4 ἀνώτερον V^9 | τὸν fehlt in V^5 | 5 ἀγρυπνίαν] λατρίαν V^9 ἀγρ. ὑπὲρ πᾶσαν ἀνάπαυσιν V^5 | 6 δι' αὐ. fehlt in m^2 | 8 δεσμίους V^5 | 10 καὶ vor εἰ zugefügt in V^5 | 11 ἀπαγάγεται nach βασιλέα zugefügt in V^5 | 12 ἐν τῇ χώρᾳ V^9 | 13 οἱ δήμιοι fehlt in V^5 | ἦγον V^9 || 6,1 καὶ γν. — αὐτῶν fehlt in V^9 | καὶ γν.] γν. δὲ V^5 | 3 τῇ fehlt in V^9 | 4 κέκραγεν V^9 ἀνέκραγε m^2 ἀνέκραξεν V^5 | 5 τινὶ fehlt in P^1 | 6 ποιοῦντες V^9 | 7 ἡμῶν nach ἀνθρώπων zugefügt in V^5 | 8 ἡμῶν vor θεῶν zugefügt in V^{59} | ἀπὸ — θεραπεύειν (9)] ἀπάτῃ δολερᾷ θεραπεύοντες V^5 | 10 λυμένεται V^9 | 11 ἐπιστρέψατε V^9 | ἀνοίας V^9 | 12 ἀγαθῆς — ὑμῖν (13)] τῆς ἀγαθῆς συμβουλείας καὶ παραινέσεως ὑμῖν λόγους V^5 | συμβούλιον V^9 | 13 προσάγοντος V^{59} | 14 κ. ἀνεξ.] fehlt in V^5 nach θεοῖς V^9 | ἐξηλέωσθαι m^2 | τὸ — μακρόθυμον (15)] αὐτοὺς παρ ἡμῶν αὐτῶν μακρωθύμων ὄντων V^9 | 15 οἳ καὶ] ὡς V^5 | 17 ἐν vor ὑμῖν zugefügt

οἱ δὲ ἅγιοι τοῦ Χριστοῦ μάρτυρες ὡς ἐξ ἑνὸς στόματος εἶπον τῷ 7
244 βασιλεῖ· 'ἡμεῖς οὐδένα | ἀνθρώπων οὔτε ἠπατήσαμεν οὔτε μὴν τέχνῃ
μαγικῇ τι εἰργασάμεθά ποτε, ἀλλὰ τῇ τοῦ σωτῆρος ἡμῶν δυνάμει τὰ
πάθη τῶν ἀσθενούντων θεραπεύομεν τοῦ εἰπόντος· "ἀσθενοῦντας
θεραπεύετε." καὶ τοῦτο πάλιν ποιοῦμεν ἀμισθὶ τὴν αὐτοῦ τοῦ θεοῦ
καὶ σωτῆρος ἡμῶν πληροῦντες ἐντολὴν τὴν λέγουσαν· "δωρεὰν ἐλά-
βετε, δωρεὰν δότε." εἰ δὲ καὶ τῶν νομιζομένων χρημάτων καταφρο-
νοῦντες τοὺς πεινῶντας τρέφομεν καὶ τὸ λεῖπον τοῖς δεομένοις ἀνα-
πληροῦμεν, εἰς αὐτοῦ τοῦ Χριστοῦ θεραπείαν τοῦτο ποιοῦμεν. αὐτὸς
γὰρ οἰκειοῦται πάντα τὰ εἰς τοὺς πένητας γινόμενα, λέγοντος αὐτοῦ
πρὸς τοὺς εὐμεταδότους· "ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· καὶ
γυμνὸς ἤμην, καὶ περιεβάλετέ με." αὐτοῦ οὖν τὰ ἐντάλματα πλη-
ροῦντες παρ' αὐτοῦ καὶ τοὺς μισθοὺς ἐν τῇ τῶν ἄθλων διανομῇ
λαβεῖν προσδοκῶμεν ζωὴν τὴν ἀτελεύτητον. τοὺς δὲ παρὰ σοῦ, βασι-
λεῦ, νομιζομένους εἶναι θεοὺς σοὶ μόνῳ καὶ τοῖς κατὰ σὲ πρέπει
θεραπεύειν· οὔτε γὰρ θεοί εἰσιν οὔτε ἔσονταί ποτε, βασιλεῦ. εἰ δέ
σοι δοκεῖ, ἡμεῖς σοὶ προσάγομεν ἀγαθῆς παραινέσεως συμβουλίαν·
246 | ἐπιγνῶναι μόλις ποτὲ τὸν ὄντως ὄντα θεόν, τὸν ἀνατέλλοντα τὸν
ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, ἀνατέλλοντα μὲν αὐτὸν εἰς
χρῆσιν ἡμετέραν, δόξαν δὲ ἰδίαν, ὥστε ἀποστῆναί σε ἀπὸ τῶν ἀψύχων
καὶ ἀναισθήτων εἰδώλων.'

Καρῖνος ὁ βασιλεὺς εἶπεν· 'οὐκ ἐκάλεσα ὑμᾶς ῥητορεύειν, ἀλλ' 8
ἵνα τοῖς θεοῖς θυσίαν τελέσητε τοῖς δωρησαμένοις ὑμῖν τὴν ἐπίνοιαν
τῶν ἰάσεων, ὅπως ἐμφανεῖς ἐν πάσῃ τῇ περιχώρῳ γένησθε.' ἀπο-
κριθέντες δὲ οἱ ἅγιοι τοῦ Χριστοῦ μάρτυρες εἶπον· 'ἡμεῖς τῷ δεσπότῃ

7, 4 Matth. 10,8 6 ebd. 11 ebd. 25,35 18 ebd. 5,45

---

in V^{59} | μιμούμενοι] ἐνδεικνύμενοι V^5 || 7,1 τῷ βασ. fehlt in m^2 | 2 τέχνῃ — τι (3)] τέχνην μαγικὴν V^9 | 3 χριστοῦ nach ἡμῶν zugefügt in V^9 ἰησοῦ χριστοῦ in V^5 | 4 ἀσθενούντων] ἀ͞νων V^9 | πάλιν nach εἰπόντος zugefügt in V^5 | 5 τοῦτο πάλιν fehlt in V^9 | ἀμ. ποιοῦμεν V^9 | τὴν] του V^9 | θεοῦ καὶ fehlt in V^5 | 6 ἐντ. πληρ. V^9 | 9 ποιοῦμεν τοῦτο V^5 | 10 λέγ. αὐ.] λέγον ταῦτα V^5 | 11 γὰρ nach ἐπείνασα zugefügt in V^9 m^2 | καὶ nach φαγ.] fehlt in m^2 ἐδίψησα καὶ ἐποτήσατε με V^5 | 14 προσδ. λαβ. V^5 | τὴν] τοῦτ' ἔστιν vor ζωὴν V^5 | καὶ βασιλείαν οὐρανῶν nach ἀτελεύτητον zugefügt in V^5 | βασιλεῦ fehlt in V^9 | 15 ὀνομαζομένους P^1 m^2 | εἶναι] fehlt in m^2 nach θεοὺς V^5 | μόνον V^5 | 16 θεοί] fehlt in V^9 nach ποτε V^5 | οὔτε nach εἰσιν] οὐδὲ V^9 | βασιλεῦ] fehlt in m^2 nach δοκεῖ (17) V^5 | δέ fehlt in V^5 | 17 προσαγάγωμεν V^5 | 18 ὄντως fehlt in P^1 m^2 | 19 αὐτὸν fehlt in V^5 | 20 ὑμετέραν V^9 | εἰς vor δόξαν zugefügt in V^9 | δὲ] fehlt in V^9 τε V^5 | ἀποστείθῃ V^5 || 8,1 ὁ βασ. fehlt in V^5 | 2 τελέσητε] προσαγάγεται V^5 | 3 τ. περιχ. πάσῃ V^5 | γενήσονται V^9 | 4 δὲ fehlt in V^5 | μάρτυρες

ἡμῶν τῷ μόνῳ θεῷν ὄντι, παρ' ὃν ἄλλος θεὸς οὐκ ἔστιν, τούτῳ μόνῳ θυσίαν ἀναίμακτον τὰς ἑαυτῶν ψυχὰς προσφέρομεν, τῷ λυτρωσαμένῳ ἡμᾶς ἐκ τῆς παγίδος τοῦ διαβόλου, τῷ δόντι τὸν μονογενῆ αὐτοῦ υἱὸν ὑπὲρ ἡμῶν καὶ ὄντι ἀεὶ μεθ' ἡμῶν, ὡς ἐπηγγείλατο· δι' ὃν καὶ ἡμεῖς ἐμφανεῖς οὐ μόνον ἐν τῇ χώρᾳ, ἀλλὰ καὶ ἐν ὅλῳ τῷ κόσμῳ γεγόναμεν καὶ πάλιν γενησόμεθα. οἱ γὰρ παρά σου λεγόμενοι θεοὶ τέχνη καὶ ἐπίνοια ἀνθρώπων εἰσίν, ὥστε εἰ μὴ ἦν ἀνθρώποις τέχνη, ὑμεῖς σεβάσματα οὐκ ἂν εἴχετε.' Καρῖνος εἶπεν· 'μὴ ἀθετεῖτε τοὺς αἰωνίους θεούς, ἀλλὰ μᾶλλον | προσέλθετε καὶ θύσατε πρὸ τῆς πείρας 248 τῶν μενόντων ὑμᾶς κολαστηρίων.' οἱ δὲ ἅγιοι τοῦ Χριστοῦ μάρτυρες πλησθέντες πνεύματος ἁγίου εἶπον πρὸς τὸν βασιλέα· 'ἀποστράφηθι κατῃσχυμμένος, ὅτι τὸν ἀεὶ ὄντα θεὸν καὶ ζῶντα εἰς τοὺς αἰῶνας τοῖς ἀκινήτοις καὶ μηδέποτε ζήσασιν ἐξομοιοῖς εἰδώλοις, ἵνα τῇ πείρᾳ μάθῃς, τίς ὄντως ὑπάρχει θεός.' καὶ εὐθέως διεστράφη ὁ τράχηλος τοῦ βασιλέως καὶ τὸ πρόσωπον αὐτοῦ ἀλλοιωθὲν ἐπὶ τὸν νῶτον αὐτοῦ γέγονεν, καὶ ἦν καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ ἐξεστραμμένος καὶ μὴ δυνάμενος ἑαυτῷ βοηθῆσαι.

9 πᾶς δὲ ὁ ὄχλος ὁ παρεστηκὼς ἐθαύμασεν ἐπὶ τῷ γεγονότι καὶ φωνῇ μεγάλῃ ἐβόων· 'μέγας ὁ θεὸς τῶν χριστιανῶν, οὐκ ἔστιν ἕτερος θεὸς πλὴν αὐτοῦ. αὐτὸς γάρ ἐστιν πάντων τῶν ἐπικαλουμένων αὐτὸν ἐξ ὅλης καρδίας ἐπήκοος καὶ ποιῶν τὸ θέλημα πάντων τῶν φοβουμένων αὐτόν.' καὶ ἐπίστευσεν ἅπαν τὸ πλῆθος τῷ θεῷ τῷ διὰ τῶν ἁγίων μαρτύρων κηρυττομένῳ, ἀρνησάμενοι τοὺς πατρῴους αὐτῶν θεούς, καὶ ἔρριψαν ἑαυτοὺς ἐπὶ τὴν γῆν ἐπὶ πρόσωπον τῶν τοῦ θεοῦ

8, 6 Sir. 51,2 7 Joh. 3,16 9, 3 Ps. 144 (145), 18

fehlt in V^{9} | τον δεσπότην P^{1} | 5 θεὸς fehlt in V^{9} | 6 προσφέρωμεν V^{59} | 7 τοῦ δόντος $P^{1}V^{9}m^{2}$ καὶ δόντι V^{5} | τὸν υἱ. αὐ. τ. μον. V^{5} | 8 ὄντος $P^{1}V^{9}$ ὄντως $V^{5}m^{2}$ verb. W | 9 ἐμφανεῖς fehlt in V^{5} | ταύτῃ vor τῇ zugefügt in V^{5} | 10 ἀλλὰ vor καὶ zugefügt in V^{9} ἐπίδοξοι in V^{5} | ἐπιδοξότεροι nach γενησόμεθα zugefügt in V^{5} | λεγόμενοι] γενόμενοι $P^{1}m^{2}$ γενάμενοι V^{9} | 11 τέχναι V^{5} | ἐπίνοιαι V^{59} | ἐν nach ἦν zugefügt in V^{5} | τέχνῃ ἀνθρ. V^{9} | 12 ἂν fehlt in V^{59} | εἶπεν] ἔφη P^{1} ὁ βασιλεὺς εἶπεν m^{2} | ἀθετεῖτε] ἀτιμάζεται V^{5} | 13 προσέλθατε V^{59} | 14 μενουσῶν V^{5} βασάνων τῶν V^{9} | κολαστηρίων] τιμοριῶν V^{5} | 15 καρῖνον nach βασιλέα zugefügt in V^{5} | 16 καταισχυμμένος V^{9} κατεσχυμένος V^{5} | 17 ἀκινήτοις] ἀνοήτοις V^{5} | μήποτε V^{5} | 18 τίς] τί σοι V^{5} | ὑπάρχει] παρέχει V^{5} | ὁ vor θεός zugefügt in V^{5} | δὲ ἔστραφη m^{2} | 19 αὐτοῦ vor τοῦ zugefügt in V^{5} | τῶν νότων V^{5} | αὐτοῦ nach νῶτον fehlt in V^{9} | 20 ἐστραμμένος V^{5} | 21 αὐτῷ V^{5} || 9,1 ἐθαύμασαν V^{5} | σιμείῳ nach γεγονότι zugefügt in V^{9} | 2 μεγ. τῇ φωνῇ V^{9} | ἐβόα V^{5} | καὶ vor οὐκ zugefügt in V^{59} | 3 θεὸς fehlt in V^{9} | αὐτὸν] αὐτοῦ V^{5} | 4 ὑπήκοος V^{59} | πάντων fehlt in $V^{9}m^{2}$ | 5 ἐπίστευσαν V^{5} | 6 ἀρνησάμενοι] καὶ ἠρνήσαντω V^{5} | 7 καὶ fehlt in V^{9} | αὐτοὺς

θεραπόντων, ἱκετεύοντες τὸν Χριστὸν καὶ ἀξιοῦντες τοὺς ἁγίους, ἵνα
250 | θεραπευθῇ ὁ βασιλεύς. καὶ αὐτὸς περιελόμενος αὐτοῦ τὴν πορφυ-
ρίδα ἔρριψεν ἐπάνω τῶν ἁγίων μαρτύρων λέγων· 'νῦν ἀληθῶς ἔγνων,
ὅτι τοῦ ὄντως ὄντος θεοῦ θεραπευταὶ τυγχάνετε καὶ πιστότατοι δοῦλοι.
οἱ οὖν πᾶσαν ψυχὴν θεραπεύοντες καὶ ἐμὲ διασώσατε, ἵνα πιστεύω
κἀγὼ τελείως, ὅτι οὐκ ἔστι θεὸς ἕτερος, εἰ μὴ ὁ ποιήσας τὸν οὐρανὸν
καὶ τὴν γῆν, Ἰησοῦς ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ὄντως
βασιλεὺς εἰς τοὺς αἰῶνας, ὁ ὑφ' ὑμῶν θεὸς καταγγελλόμενος.' οἱ δὲ
ἅγιοι τοῦ Χριστοῦ δοῦλοι εἶπον τῷ βασιλεῖ· 'ἰδοὺ ἡ βασιλεία σου καὶ
ἡ πορφύρα σου μετὰ σοῦ ἐστιν, σὺ δὲ γνῶθι τὸν χαρισάμενόν σοι
τὴν βασιλείαν καὶ πίστευσον αὐτῷ ἐξ ὅλης τῆς καρδίας σου, καὶ αὐτός
σε θεραπεύσει.' καὶ ὁ βασιλεὺς μεγάλῃ τῇ φωνῇ ἔκραξε λέγων· 'πι-
στεύω σοι, Ἰησοῦ, σῶσόν με, καὶ μὴ μνησικακήσῃς τῇ προτέρᾳ μου ἀγνοίᾳ,
ἀλλ' ἐλεήσας καὶ ἐμὲ πρόβατον πλανώμενον ἐγκατάταξον τῇ ἁγίᾳ σου
ταύτῃ ποίμνῃ.' καὶ εὐθέως ἐσπλαγχνίσθη ἐπ' αὐτῷ ὁ Ἰησοῦς καὶ
252 ἰάσατο αὐτόν. καὶ εὐχαρίστησεν ὁ βασιλεὺς σὺν | τῷ παρεστῶτι ὄχλῳ
τῷ θεῷ καὶ παραχρῆμα ἐκέλευσεν πάντας τοὺς ναοὺς τῶν εἰδώλων κατα-
στραφῆναι, καὶ ἀνατείνας ὁ βασιλεὺς εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς
αὐτοῦ εἶπεν· 'εὐλογητὸς εἶ, Χριστέ, ὁ ἀπὸ σκότους εἰς φῶς με ἀγαγὼν
διὰ τῶν ἁγίων σου τούτων μαρτύρων.' καὶ εὐξάμενος σὺν αὐτοῖς
καὶ πιστεύσας τῷ μόνῳ ὄντι θεῷ ἀπέλυσεν αὐτοὺς ἀπελθεῖν εἰς τὰ ἴδια

ἀκούσασα δὲ πᾶσα ἡ περίχωρος ἐκείνη, ὅπου ᾤκουν οἱ ἅγιοι, τὰ 10
μεγαλεῖα τοῦ θεοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τὰ γενόμενα διὰ τῶν χειρῶν
αὐτῶν εἰς τὸν βασιλέα, καὶ ὅπως καὶ αὐτὸς ἐπίστευσεν ὁ βασιλεὺς καὶ
πᾶς ὁ οἶκος αὐτοῦ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἀπε-

---

9, 13 Gen. 1,1

V^9 | ἐπὶ πρόσ. ἐπὶ τ. γ. V^5 m^2 | εἰς τοὺς πόδας vor τῶν zugefügt in V^5 | θεοῦ] Χριστοῦ V^{59} | 9 καὶ αὐτὸς] ὁ δε βασιλεὺς V^9 καὶ αὐτὸς δὲ ὁ βασ. V^5 | τὴν ἑαυτοῦ πορφύραν V^5 | 10 ἔγν. ἀλ. V^5 | 11 ὄντος] fehlt in V^9 m^2 ἀληθῶς ὄντα καὶ ἐπουρανίου V^5 | 12 θεραπεύσαντες V^9 | καὶ — διασώσατε] διεσώσατε κἀμὲ ἐλεήσατε V^5 | πιστεύσω m^2 | 14 ὁ vor Χρ.] fehlt in V^9 ὁ κύριος ἡμῶν vor Ἰησοῦς V^5 | 16 ἀποκριθέντες nach δοῦλοι zugefügt in V^5 | 17 ἐπίγνωθη V^5 | μετὰ πάσης ἀληθείας vor τὸν zugefügt in V^5 | 18 τῆς fehlt in V^9 | αὐτός σε θερ.] ἐξ ὅλης ἰσχύος σου V^9 | 19 λέγων fehlt in V^5 | 20 μνησοκακήσῃς V^5 | 21 ὡς vor πρόβατον zugefügt in V^{59} | ἐγκατάλεξον V^{59} | 22 ταύτῃ fehlt in m^2 | αὐτὸν V^{59} | 23 εὐχ. ὁ βασ.] ηὐχαρίσθησεν V^5 | παρεστηκότι V^9 | 24 τῷ θεῷ vor σὺν (23) V^5 | 25 ὁ βασ. fehlt in V^{59} | τ. ὀφθ. αὐ. vor εἰς V^5 dass. ohne αὐτοῦ ebd. V^9 | 26 τοῦ vor σκότους zugefügt in V^9 | μεταγαγών με V^5 | 27 μαρτύρων fehlt in V^5 | εὐξαμένου V^9 | σὺν] οὖν V^5 | 28 μόνῳ fehlt in V^9 || 10,1 πᾶσα fehlt in V^5 | οἴκουν V^{59} | 2 καὶ — αὐτοῦ] fehlt in V^5 | θαυμ. αὐ.] θαύματα τοῦ $\overline{χυ}$ V^9 | 3 εἰς — αὐτοῦ (4) fehlt in V^5 | ὁ βασ. fehlt in m^2 |

κατεστάθη ὁ τράχηλος αὐτοῦ εἰς τὸν τόπον αὐτοῦ, ἐξῆλθον πάντες εἰς συνάντησιν αὐτῶν καὶ ἐδέξαντο αὐτοὺς μετὰ χαρᾶς πολλῆς, ἀγαλλόμενοι καὶ ὑμνοῦντες τὰ μεγαλεῖα τοῦ Χριστοῦ. οἱ δὲ ἅγιοι τοῦ Χριστοῦ μάρτυρες διῆγον συνήθως ἐν τῇ χώρᾳ, ὅθεν καὶ συνελήφθησαν, τὰς ἰάσεις ποιοῦντες καὶ τοῖς δεομένοις ἐπαρκοῦντες, καὶ οὐκ ἐπαύοντο κατηχοῦντες καὶ πείθοντες πάντας τοὺς προσερχομένους ἀποστῆναι ἀπὸ τῶν ματαίων καὶ ἀναισθήτων εἰδώλων καὶ πιστεύειν τῷ μόνῳ ὄντι θεῷ. τοῦτο δὲ ἐποίουν ἐπὶ χρόνον πολύν, καὶ ὁ λόγος τοῦ θεοῦ ηὔξανεν, καὶ αἱ παρ' αὐτῶν εἰς πάντας τοὺς ἀσθενοῦντας ἰάσεις γινόμεναι προέκοπτον, καὶ τὸ πλῆθος τῶν δι' αὐτῶν πιστευόντων τῷ Χριστῷ ἐπληθύνετο.

11 *μετ' οὐ πολὺ δὲ ὁ τῶν καλῶν σκάνδαλος κατ' αὐτῶν | ἀνακύψας,* 254
ὁ τὴν προτέραν αὐτῶν ἀρετὴν διὰ Καρίνου τοῦ βασιλέως ἀμαυρῶσαι βουλόμενος καὶ φθόνῳ τηκόμενος, οὐκ ἐκαρτέρει, σπουδάζων σβέσαι τῶν καλλινίκων Χριστοῦ μαρτύρων τὴν εἰς τὸν θεὸν αὐτῶν δόξαν καὶ πάντα κακὸν κατ' αὐτῶν κινεῖν μηχανώμενος· καὶ μὴ περιγινόμενος ἀνίστησι κατ' αὐτῶν ἕτερον ἐπίβουλον καὶ δόλιον τοῦ διαβόλου ἐργάτην, τὸν γενόμενον αὐτῶν τῆς ἰατρικῆς τέχνης ἐπιστάτην. καὶ τοῖς μὲν ἁγίοις μάρτυσι τῆς ἰδίας ἐπιθυμίας ὁ σκοπὸς ἐπληροῦτο, τῷ δὲ ἐπιστάτῃ αὐτῶν ὁ τῆς βασκανίας μισθός, ἡ ἀτελεύτητος γέεννα, ἡτοιμάζετο. καὶ τοῖς μὲν ὁσίοις ἐγίνετο λοιπὸν ἡ τοῦ μαρτυρίου τελείωσις, τῷ δὲ βασκάνῳ διαβόλῳ ἡ τελεία κατάπτωσις.

12 *καὶ τῇ συνηθείᾳ χρησάμενος ὁ ἐπιστάτης εἶπεν πρὸς αὐτούς· 'διέλθωμεν εἰς τὸ παρακείμενον ὄρος εἰς ἐκλογὴν τῶν ἡμῖν εἰς χρείαν*

---

5 *αὐτοῦ* nach *τόπον*] fehlt in V^9 m^2 *ἴδιον* vor *τόπον* V^5 | *ἅπαντες* V^5 | 6 *αὐτῶν* fehlt in V^{59} | *ἀγαλλιῶντες* V^{59} | 7 *ἀνυμνοῦντες* V^9 | *τὰ — Χριστοῦ*] *τὸν δεσπότην* *χ̅ν̅* V^5 | *Χριστοῦ*] *θ̅υ̅* V^9 | *τοῦ Χρ.* nach *ἅγιοι* fehlt in m^2 | 9 *πρότερον* vor *τὰς* zugefügt in V^5 | *τοῖς* fehlt in m^2 | *καὶ* vor *οὐκ* fehlt in V^9 m^2 | 10 *πάντας* fehlt in V^5 | 11 *ἀποστῆναι* fehlt in V^5 | *κ. ἀναισθ.* fehlt in V^{59} | 12 *ὄντι μόνῳ* V^9 | 13 *καὶ ἐπληθύνετο* nach *ηὔξανεν* zugefügt in V^9 | *καὶ — αὐτῶν* fehlt in V^9 | *καὶ αἱ*] *αἱ γὰρ* V^5 | *πάντας* fehlt in V^5 | 14 *γινόμεναι* fehlt in V^9 | *προέκοπτον*] *προετρέποντω* V^5 | *καὶ τὸ* fehlt in V^5 | 15 *τ. Χρ.*] fehlt in V^9 vor *πιστευόντων* V^5 | *ἐπληθύνετο* fehlt in V^5 || **11,1** *σκάνδαλος*] *βάσκανος* V^{59} m^2 | *ἀνακύψας*] *ἀνακάμπτει* V^9 *πάλιν κινῆται* V^5 | 3 *κ. φθ.*] *φθ. γὰρ* V^5 | *οὐκ* fehlt in V^9 | *σπουδάσαι* V^5 | *σβέσαι — μαρτύρων* (4) fehlt in V^9 | 4 *τὸν* fehlt in V^5 | 5 *κακὸν*] *κάλων* V^5 | *κινεῖν* fehlt in V^9 | *ἐμηχανάτω* V^5 | *καὶ* fehlt in V^5 | *μὴ* fehlt in V^9 | *περιγενόμενος* V^9 | *τῆς εἰλικρινοῦς αὐτῶν εἰς θεὸν πίστεως καὶ ἐλπίδος* nach *περιγινόμενος* zugefügt in V^5 | 6 *οὖν* vor *κατ'* zugefügt in V^5 | *τ. διαβ.*] *αὐτοῦ* V^5 | 7 *γενάμενον* V^9 | 8 *μὲν* fehlt in V^9 | *ὁ* vor *τῆς* V^5 | 9 *αὐτῶν* fehlt in V^{59} | 10 *τὸ* vor *λοιπὸν* zugefügt in V^5 | 11 *τῷ — κατάπτωσις* fehlt in P^1 V^9 m^2 || **12,1** *καὶ*] *γὰρ προτέρα* nach *τῇ* V^5 | *καὶ τὸν δόλιον ὄφιν ἐνδυσάμενος τῇ κατ' αὐτοῦ ψυχῇ* nach *ἐπιστάτης* zugefügt in V^5 | 2 *εἰς* vor *τὸ*] *ἐπι* V^9 | *προκείμενον* V^9 | *ἡμῖν — χρείαν*] *ἰατρικῶν* V^5 | 3 *τῶν* vor *βοτανῶν* zugefügt in V^9 | *εἵποντο*] *ἐπίθοντο* V^9 |

βοτανῶν.' καὶ οἳ μὲν εἵποντο ὡς ἐπιστάτῃ ἀκολουθοῦντες, ὡς ἀρνία ἄκακα ἀγόμενα τοῦ θύεσθαι. καὶ ἀναλαμβάνει αὐτοὺς εἰς τὸ ὄρος, τοῦ προπάτορος αὐτοῦ Κάϊν τὴν ὑπόκρισιν μιμούμενος καὶ λέγων πρὸς
256 τοὺς ἁγίους, | ὅπερ ἐκεῖνος πρὸς τὸν Ἄβελ· 'ἄγωμεν ἐπὶ τοὺς συνήθεις τόπους εἰς τὴν τῶν βοτανῶν ἐκλογήν· εἰς τοῦτο γὰρ ὁ καιρὸς καλεῖ τῆς ἐπιμελείας τῶν ἀσθενούντων ἕνεκεν.' ὃ μὲν εἶπεν ὡς ἐσκέπτετο, οἳ δὲ ἠκολούθουν ὡς ἐπιστάτῃ, θυσία δεκτὴ καὶ ὁλοκάρπωσις Χριστοῦ γινόμενοι. ὡς δὲ ἦλθον, ὅπουπερ ἤθελεν ὁ τὴν ἰδίαν ἐπιθυμίαν πληρῶσαι σπεύδων, ἐδείκνυ τῆς χρείας τέως τῷ ἑνὶ τῶν βοτανῶν τὴν ἐκλογήν, καὶ λαβὼν τὸν ἕτερον ἀπήγαγεν ἐπί τινα κρημνώδη τόπον, τὸ αὐτὸ τῷ ἀδελφῷ ποιεῖν δείξας. ὡς οὖν εἴχοντο ἐπιμελῶς καὶ τῇ ἐκλογῇ τῆς χρείας προσεῖχον οἱ ἅγιοι, λίθοις καθ' ἕνα βαλὼν ἐφόνευσεν καὶ λαβὼν λάθρα τὰ σώματα εἰς τὸν ἐν τῷ τόπῳ παρακείμενον ἀγωγὸν ἀπέκρυψεν. καὶ οὕτως οἱ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται τὸ τέλος τῆς εἰς Χριστὸν ὁμολογίας ἐτελείωσαν. δόξα τοίνυν καὶ προσκύνησις καὶ μεγαλοπρέπεια τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ παναγίῳ καὶ ζῳοποιῷ πνεύματι καὶ πρὸ τῶν αἰώνων, καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

12, 5 Gen. 4,8

καὶ vor ὡς zugefügt in V^{5} | 4 ἀγόμενοι V^{5} | ἀναλαμβάνει] ἀνάγει V^{9} | τὸ fehlt in $V^{5}m^{2}$ | τ. προπ. αὐ. fehlt in V^{5} | 5 Κάϊν] fehlt in V^{59} nach μιμούμενος m^{2} | λέγει V^{5} | 6 ἁγίους] ὁσίους V^{59} | ὅπερ ἐκ.] ἐκείνους ὡς V^{9} | ἄγομεν $P^{1}V^{9}$ | ἐπὶ] πρὸς V^{5} | 7 τοῦ ὄρους vor τόπους zugefügt in V^{59} | καὶ vor ὁ zugefügt in V^{5} | 8 καλεῖ vor ὁ (7) V^{9} | ἕνεκα τῆς τ. ἀσθ. ἐπιμ. V^{5} | ὃ — ἐσκέπτετο fehlt in V^{5} | 9 αὐτῷ vor ὡς zugefügt in V^{9} | 10 χριστῷ V^{5} | γενόμενοι P^{1} | διῆλθον V^{5} | δεινὸς ἐκεῖνος nach ὁ zugefügt in V^{5} | 11 σπεύδων fehlt in V^{5} | τε ὡς vor τῆς V^{5} | 12 τὴν vor τῶν (11) V^{5} | αὐτὸν vor ἐπί zugefügt in V^{5} | τόπ. κρημν. V^{5} | 13 τ. ἀδελφῷ fehlt in m^{2} | ποιεῖν vor τῷ in V^{5} nach δείξας in m^{2} | δείξας] διαταξάμενος ποιεῖν τὴν τῶν βοτανῶν συλλογὴν τῇ χρείᾳ V^{5} | οὖν εἴχοντο] δὲ ἐποίουν V^{5} | 14 καὶ — ἅγιοι] τὴν ἐκλογὴν τῇ χρείᾳ προσέχοντες V^{5} | λίθους V^{5} | 15 αὐτοὺς vor καὶ zugefügt in V^{5} | αὐτῶν vor εἰς zugefügt in V^{5} | 16 κατέκρυψεν M^{3} κατέ V^{5}, mit diesen Buchstaben abbrechend | 17 ἐτέλεσαν M^{3} ἐδέξαντο V^{9} | δόξα — ἀμήν (20)] ἡ δὲ μνήμη τῆς ἡμέρας τῆς τελειώσεως αὐτῶν ἐπιτελεῖται κατὰ μὲν Ἀντιοχέας, ἤτοι Συρομακεδονίας, Δίου (δειοῦ V^{9}) ὀκτωκαιδεκάτῃ, ὁμοίως δὲ καὶ κατὰ Ῥωμαίους Ἰουνίου (ἰουνίῳ V^{9}) ὀκτωκαιδεκάτῃ· κατὰ δὲ Αἰγυπτίους Παϋνὶ (παὺνὴ V^{9}) τετάρτῃ καὶ εἰκάδι. καὶ παρεγένοντο ἐνδόξως εἰς τὸν παράδεισον, πρεσβεύοντες ὑπὲρ τῶν ἁμαρτωλῶν πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ᾧ πρέπει πᾶσα τιμὴ καὶ δόξα καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν V^{9} | δόξα] εἰς δόξαν M^{3} εἰς δόξα m^{2} | 18 τοίνυν — μεγαλοπρέπεια fehlt in M^{3} τοίνυν und κ. μεγαλ. in m^{2} | τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ παναγίου καὶ ζῳοποιοῦ πνεύματος m^{2} πατρὸς καὶ υἱοῦ καὶ ἁ῀ίου πνεύματος M^{3} | 19 καὶ πρὸ — νῦν] νῦν καὶ ἀεὶ $M^{3}m^{2}$ | 20 σύμπαντας fehlt in M^{3}

Arabisches Martyrium I

Μαρτύριον τῶν ἁγίων καὶ θαυματουργῶν Κοσμᾶ καὶ Δαμιανοῦ, Ἀνθίμου, Λεοντίου, Εὐπρεπίου

1 Ἐν ὑπατείᾳ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἡγεμονεύοντος Λυσία ἐν Αἰγαῖς τῇ πόλει τῇ πρὸ ἑπτὰ καλανδῶν δεκεμβρίων, μηνὸς νοεμβρίου εἰκάδι πέμπτῃ, προκαθίσας ὁ ἡγεμὼν ἐν τῷ ναῷ Ἀδριανοῦ ἔφη· ʻκάλεσον τοὺς τῆς κακῆς θρησκείας τῶν χριστιανῶν.ʼ ἡ τάξις εἶπεν· ʻἑστήκασιν πρὸ τοῦ βήματός σου, κύριε.ʼ ὁ ἡγεμὼν εἶπεν· ʻποίας θρησκείας ἐστὲ ἢ ποίας τύχης τυγχάνετε, ἢ τίνα τὰ ὀνόματα ὑμῶν, ἢ ποίας ἐστὲ πόλεως;ʼ Κοσμᾶς καὶ Δαμιανὸς εἶπαν· ʻπόλεώς ἐσμεν τῆς Ἀραβίας.ʼ ὁ ἡγεμὼν εἶπεν· ʻπῶς δὲ προσαγορεύεσθε;ʼ Κοσμᾶς εἶπεν· ʻἐγὼ Κοσμᾶς καλοῦμαι, ὁ δὲ ἡμέτερος ἀδελφὸς Δαμιανός, γένους ὄντες μεγίστου, ἰατροὶ τὸ ἐπιτήδευμα. ἔχομεν δὲ καὶ ἄλλους ἀδελφούς καί, εἰ κελεύεις, καὶ τὰς αὐτῶν προσηγορίας λέγομεν.ʼ ὁ ἡγεμὼν εἶπεν· ʻεἴπατε ἀφόβως.ʼ Κοσμᾶς εἶπεν· ʻἌνθιμος, Λεόντιος καὶ Εὐπρέπιος λέγονται.ʼ ὁ ἡγεμὼν εἶπεν· ʻποίας θρησκείας ἐστέ;ʼ Κοσμᾶς εἶπεν· ʻχριστιανοί.ʼ ὁ ἡγεμὼν εἶπεν· ʻἀπαρνησάμενοι ὑμῶν τὸν θεὸν προσέλθατε καὶ θύσατε τοῖς μεγίστοις θεοῖς, τοῖς σύμπασαν τὴν οἰκουμένην δημιουργήσασιν.ʼ Κοσμᾶς καὶ Δαμιανός, Ἄνθιμος, Λεόντιος καὶ Εὐπρέπιος ὡς ἐξ ἑνὸς στόματος εἶπαν· ʻτοὺς μὲν θεούς σου τοὺς ματαίους καὶ τοῦ βήματός σου ἀρνούμεθα. οὔτε γὰρ ἄνδρες ⟨παρʼ ὑμῖν ἄνδρες⟩ ὀνομάζονται, ἀλλὰ δαίμονες· ὅθεν καὶ τοὺς ἴσους ὑμῶν δαίμονας θεοὺς ὀνομάζετε.ʼ

2 ὁ ἡγεμὼν εἶπεν· ʻδήσαντες αὐτῶν τοὺς πόδας καὶ τὰς χεῖρας εὐτόνως βασανίσατε, ἄχρις οὗ ὁμολογήσωσιν θύειν τοῖς θεοῖς.ʼ τούτων δὲ βασανιζομένων ἐβόησαν λέγοντες· ʻΛυσία ἡγεμών, ἐπιμελέστερον ἡμᾶς παίδευσον, ἡμεῖς γὰρ οὐ βασανιζόμεθα.ʼ ὁ ἡγεμὼν εἶπεν· ʻἐγὼ μὲν ἐνόμιζον διὰ τῶν βασάνων τῶν ὀλίγων τούτων πείθειν ὑμᾶς ἐπιθῦσαι. νῦν οὖν παρυβρίσατε τὸν βασιλέα καὶ ἐμέ· κελεύω δεθῆναι ὑμᾶς καὶ ἐν θαλάσσῃ βληθῆναι.ʼ βληθέντων δὲ αὐτῶν τὰ δεσμὰ ἐσχίσθησαν, καὶ τὸ ὕδωρ τούτους κουφίσαν ἔθετο ἐπὶ τῆς γῆς

Arabisches Martyrium I Hss: V^{49} Titel *κ. θαυμ.* fehlt in V^9 | *καὶ* je vor *Ἀνθ. Λεοντ. Εὐπρ.* zugefügt in V^9 || 1,1 *λυσίου* V^9 | 2 *ἐν αἰγέαις* nach *τῇ* V^9 | *δεκεμβρίω* V^9 *νοεμβρίω* V^4 | *νοεμβρίου*] *ὀκτοβρίου* V^4 | 3 *Ἀδριανοῦ* fehlt in V^9 | 4 *κάλει* V^9 | *τοὺς* fehlt in V^4 | 5 *ἔστικαν* V^4 | 6 *τίνα*] *τί* beide Hss | 10 *τὸ* fehlt in V^9 | 11 *καὶ* vor *τὰς* fehlt in V^9 | *αὐτὸν* V^4 *ἑαυτῶν* V^9 | 13 *καὶ* fehlt in V^9 | 15 *προσέλθεται* V^4 | *κ. θύσατε* fehlt in V^4 | *μεγ. θεοῖς*] *μεγάλοις* V^9 | 16 *καὶ* je vor *Ἀνθ.* u. *Λεόντ.* zugefügt in V^9 | 17 *εἶπον* V^4 | 18 *τὸ βῆμα* V^9 | 19 *ὀνομάζεσθαι* V^4 | 20 *καὶ* fehlt in V^4 | *θεοὺς*] *οὓς* V^4 || 2,2 *βασανίζεται* V^4 | *οὗ*] *οὖν* V^4 | 8 *ἐσχίσθησαν*] *ἐχόσθησαν* V^9 | *κουφήσασε* V^4 |

μηδὲν ἀδικηθέντας. ὁ ἡγεμὼν εἶπεν· ʻδιδάξατε κἀμὲ μαγεύειν, καὶ κοινωνῶ ὑμῖν.ʼ Κοσμᾶς καὶ Δαμιανὸς εἶπαν· ʻἀκολούθησον ἡμῖν ἐν ὀνόματι κυρίου.ʼ Λυσίας ὁ ἡγεμὼν εἶπεν· ʻἐν ὀνόματι τοῦ θεοῦ μου Ἀδριανοῦ ἀκολουθήσω ὑμῖν.ʼ καὶ εὐθέως ἦλθον δύο δαίμονες καὶ κατέσχον τὸν ἡγεμόνα καὶ ἐμαστίγωσαν αὐτὸν ἑκατέρωθεν τῶν αὐτοῦ σιαγόνων. ὁ δὲ ἡγεμὼν εἶπεν· ʻὁρᾶτε ὅτι οἱ θεοὶ ἐν ὀργῇ μοι ἐγένοντο, ἐπειδήπερ κατέλιπον αὐτούς.ʼ Κοσμᾶς καὶ οἱ λοιποὶ εἶπαν· ʻοἱ θεοὶ ὑμῶν τυφλοὶ καὶ κωφοί εἰσιν καὶ λίθινοι, κατοικητήρια δαιμόνων τυγχάνοντες. καὶ πῶς οἱ λίθοι θυμοῦνται; ὁ δὲ θεὸς ἡμῶν ἀθάνατός ἐστιν καὶ ἀληθινὸς καὶ δίκαιος κριτήςʼ.

ὁ ἡγεμὼν εἶπεν· ʻοὐκέτι ἀνέχομαι ὑμῶν οὕτως βλασφημεῖσθαι 3
τοὺς θεούς.ʼ πολλαῖς οὖν τιμωρίαις τούτους ὑποβαλὼν οὐδὲν ἴσχυσεν. καὶ μὴ δυνηθεὶς αὐτοὺς πεῖσαι ἐκέλευσεν φρύγανα καὶ ξύλα ἐνεχθῆναι καὶ ἀνάψαι πῦρ μέγα, καὶ ἐμβληθῆναι προσέταξεν αὐτοὺς ἐν τῇ πυρᾷ. βληθέντων δὲ τῶν ἁγίων ἐν τῇ πυρᾷ ἐσχίσθη ἡ γῆ καὶ ἐδέξατο αὐτούς. καὶ εὐθέως τὸ πῦρ ὑπεχώρησεν καὶ ἥλατο εἰς τοὺς παρεστῶτας. καὶ πάλιν τῆς πυρᾶς σβεσθείσης ἐσχίσθη ἡ γῆ, καὶ ἀνῆλθον οἱ ἅγιοι τοῦ θεοῦ. ὁ ἡγεμὼν εἶπεν· ʻἕως πότε ἀνθίστασθε καὶ βλασφημεῖτε; προσέλθατε καὶ ἀσπάσασθε μόνον τοὺς θεούς, καὶ ἀπέλθατε ὑγιαίνοντες.ʼ οἱ ἅγιοι τοῦ θεοῦ εἶπαν· ʻτῶν μὲν βασιλέων τῶν ἀνοήτων καὶ ἀφρόνων καὶ μαινομένων καταφρονοῦμεν, καὶ τοὺς λίθους ἀσπάσασθαι ἔχωμεν;ʼ τότε θυμωθεὶς ὁ ἡγεμὼν ἐκέλευσεν Κοσμᾶν καὶ Δαμιανὸν σταυρωθῆναι καὶ λιθοβολεῖσθαι. σταυρωθέντων δὲ αὐτῶν καὶ λιθοβολουμένων οἱ λίθοι ἀνάποδα ὑπῆγον καὶ ἠδίκουν τοὺς λιθοβολοῦντας. τότε ἐκέλευσεν ὁ ἡγεμὼν νούμερα τέσσαρα στρατιωτῶν ἐλθεῖν καὶ τοξεύειν αὐτούς. ἐλθόντων δὲ τῶν στρατιωτῶν καὶ τὰ βέλη ἀναλωσάντων οἱ ἅγιοι τοῦ θεοῦ οὐκ ἠδικήθησαν, ἀλλʼ ὑποστρέψαντα τὰ βέλη ἀνήλωσαν ἀνδρῶν τε καὶ γυναικῶν ὀνόματα πεντακισχίλια, καὶ ἐγένετο ῥύσις αἱμάτων τῶν φονευθέντων πολλὴ σφόδρα. ἰδὼν δὲ ὁ ἡγεμών, ὅτι ἡττήθη ὑπὸ τῶν ἁγίων, ἐκέλευσεν αὐτοὺς πάντας ξίφει ἀναλωθῆναι. καὶ ἐτέλεσαν τὸ βραβεῖον τῆς ἐξομολογήσεως αὐτῶν ἐν Αἰγαῖς ἐν τῷ Ἀδριανοῦ τόπῳ εἰκάδι

---

13 *ἑκατ. τ.*] *ἑτερωθέντων* V^9 | 14 *δὲ* fehlt in V^9 | *ἐν*] *ἐπʼ* V^9 | *μοι* fehlt in V^4 | 16 *δαιμωνίων* V^9 | 17 *τυγχάνουσιν* V^9 || 3,1 *βλασφημησθῆναι* V^9 | 2 *πολλαὶ οὖν τιμωρίαι* V^4 | 3 *πεῖσαι*] *ποιῆσαι* V^4 | 4 *ἀνάψαι — προσέταξεν*] *βληθῆναι* nach *πυρᾷ* (5) V^9 | 5 *τ. ἁγίων*] *αυτῶν* V^9 | 7 *ἐσβεσθήσης* V^4 *ψυγίσης* V^9 | 8 *δὲ* nach *ὁ* zugefügt in V^4 | 9 *τ. θ. μόν.* V^9 | 10 *μὲν* fehlt in V^9 | 12 *ἔχομεν* beide Hss | 13 *κ. λιθοβ.* fehlt in V^9 | 14 *ἠδίκουν*] *ἐδίοκον* V^4 | 16 *ἐλθεῖν — στρατιωτῶν* fehlt in V^9 | 18 *ἀποστρέψαντα* V^9 | *τὰ* fehlt in V^9 | 20 *πολλὴν* V^4 | *π. σφόδρα* fehlt in V^9 | 21 *βραβεῖον*] *κρανίον* V^4 | 22 *αἰγέαις* V^9 |

πέμπτῃ τοῦ νοεμβρίου μηνός, βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Arabisches Martyrium II

Μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῶν Ἀρραβιτῶν καὶ τῆς συνοδίας αὐτῶν 278

1 Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν δυσσεβῶν καὶ ἀθέων τὴν τῶν Ῥωμαίων διεπόντων ἀρχὴν οὐχ ὁ τυχὼν ἐτύγχανε χειμὼν κατὰ τῶν εὐσεβεῖν ᾑρημένων καὶ τὸν Χριστὸν σεβομένων. ἄρχοντες γὰρ καὶ ἡγεμόνες καὶ τύραννοι κατὰ πᾶσαν πόλιν καὶ χώραν, καὶ αὐτῶν τῶν κρατούντων πικρότεροι, θεσπίσματά τε καὶ διατάγματα ἐξεπέμποντο, ἄρδην εἰ δυνατὸν περιέχοντα χριστιανοὺς ἅπαντας οἴχεσθαι πανολεθρίους. ἦν οὖν βαρὺς ὁ κατὰ τῶν | θεοσεβῶν πόλεμος καὶ σφοδρῶς 280 ἔπνει καὶ ἀπηνέστατα. Λυσίας τοίνυν ὁ ἀσεβέστατος δοὺξ τῷ τότε τυγχάνων καιρῷ καὶ ἐν Αἰγαῖς τῇ πρὸς μεσημβρίᾳ ἀνισχούσῃ πόλει διατρίβων κατά τινα χρείαν τῶν τοῦ δημοσίου πραγμάτων καὶ τὰ τῶν βασιλέων δεξάμενος γράμματα καὶ ἀναγνοὺς καὶ καθ' ἑαυτὸν σκεψάμενος, μᾶλλον δὲ μετὰ τοῦ ἐνοικοῦντος αὐτῷ δαίμονος, στρατιώτας ἐκπέμπει παραχρῆμα, εἴ που τυγχάνοιεν χριστιανοὶ ἐρευνήσοντας. τῶν δὲ πάσῃ σπουδῇ τὴν ἔρευναν ποιουμένων καὶ αὐτὰς ὡς εἰπεῖν τάς τε τρώγλας καὶ καταδύσεις ἐρευνώντων τοῖς περὶ τὸν ἅγιον Κοσμᾶν καὶ Δαμιανὸν ἐντυγχάνουσιν ἔν τινι σπηλαίῳ διὰ τὸν φόβον τῶν ἀσεβῶν κρυπτομένοις· οὓς καὶ ἐν εἱρκτῇ καθείρξαντες ἀσφαλῶς τῷ δουκὶ περὶ αὐτῶν ἀναφέρουσι, 'δεόμεθα' λέγοντες 'τῆς σῆς, ὦ ἡγεμών, ὑπεροχῆς· ἄνδρας ἐφεύρομεν τῶν ἐπονομαζομένων χριστιανῶν, πέντε τὸν ἀριθμόν, ἔνδοθεν τοῦ σπηλαίου τῷ ἐσταυρωμένῳ προσευχομένους, οἳ ἀδελφοὶ καὶ τὸ γένος καὶ τὸ σέβας καὶ τὴν γνώμην εἶναι λέγουσι.' καὶ ὁ δικαστὴς ἐφ' ὑψηλοῦ καθίσας τοῦ βήματος πλησίον τοῦ ναοῦ τῶν εἰδώλων τούτους ἀχθῆναι προσέ|ταξεν. 282

2 ἀχθέντων οὖν καὶ παραστάντων τῷ βήματι, 'ὑμεῖς τίνες ἐστέ', φησὶν ὁ τύραννος, 'καὶ τίσιν ὀνόμασιν ἐπικέκλησθε, καὶ τίνα τὰ ὑμῶν ἐπιτηδεύματα;' πρὸς ὃν ὁ μακάριος Κοσμᾶς ἀνθυπέφερεν· 'οὓς ὁρᾷς, ἡγεμών, ἡμᾶς τοὺς τῷ σῷ παρισταμένους βήματι, χριστιανοὶ καὶ ἐσμὲν καὶ κεκλήμεθα. τοῦτο τὸ ἐξαίρετον ἡμῶν ὄνομα, τοῦτο τὸ μὴ μεταπίπτον ἀξίωμα, τὸ ἀναφαίρετον θησαύρισμα· τῆς εὐγενείας τὸ ἐπισημότατον, τῆς πολιτείας τὸ λαμπρότατον.' καὶ ὁ τύραννος· 'δαι-

---

23 τ. νοεμβρ. μ.] νοεμβρίου V^{9} | νοεμβρίου] ὀκτωβρίου V^{4} | τοῦ vor κυρ. fehlt in V^{4} | 24 ᾧ] αὐτῷ V^{9} | καὶ τ. κρ. — ἀεὶ καὶ (25) fehlt in V^{9}

μονᾶν μοι ἔοικας, ἄνθρωπε· ἢ οὐ μανία ταῦτα σαφής; οὐ φυτοσπόρος
ὑμᾶς ἐγέννησεν, οὔτε μήτηρ ὠδινήσασα τέτοκε· τῶν ληρημάτων τῆς
ἀπονοίας οὗτοι αὐτομάτως, ὡς ἔοικε, κατὰ τοὺς γίγαντας ἡμῖν ἐκ τῆς
γῆς ἀνεδόθησαν.' καὶ ὁ μάρτυς· 'εἰ τὰ παρὰ τῶν τεκόντων ἡμῖν
ἐπιφημισθέντα ὀνόματα βούλει μαθεῖν, ἄκουσον· Κοσμᾶς ἐγὼ κέ-
κλημαι, κόσμος καὶ καλλώπισμα τῶν εὐσεβούντων, οὗτος δὲ Δαμιανός,
δαμάζων καὶ συντρίβων καὶ συνθλῶν τὰς κάρας τῶν ὑπό σου προσ-
κυνουμένων θεῶν, ὁ δὲ μετ' αὐτὸν Ἄνθιμος, ἀνθῆσαι μέλλων διὰ τοῦ
284 μαρτυρίου καὶ καρπὸν ἐνεγκεῖν ἑκατοστεύοντα, καὶ ὁ μετ' ἐκεῖνον |
Λεόντιος, τῷ λεοντείῳ βρυχήματι δαίμονας φυγαδεύων τούς σοι φίλους
καὶ σύν σοι τῷ αἰωνίῳ παραπέμπων πυρί, καὶ ὁ ἄλλος Εὐπρέπιος, θέ-
λων ἐμπρέψαι μέσον τοῦ παραδείσου, οὗ πάντες ἡμεῖς ἱμειρόμεθα ἐν-
διαίτημα τυγχάνοντος τῶν χριστιανῶν μετὰ τὴν ἐνθένδε ἀποβίωσιν.'
καὶ ὁ Λυσίας· 'ἐάσαντες τὸ μωρολογεῖν καὶ τὸ περὶ τῶν ἀδήλων
ὀνειροπολεῖν τοῖς ἀθανάτοις θεοῖς προσελθόντες θύσατε. εἰ δὲ τοῖς
ἐμοῖς λόγοις ἀπειθήσετε, τῇ διὰ μαστίγων πείρᾳ καὶ τοῖς ἔργοις αὐ-
τοῖς μέλλετε ποιεῖν τὰ κελευόμενα.' ταῦτα τὰ ληρήματα ἐνωτισθέντες
οἱ μάρτυρες μιᾷ φωνῇ ὁμοθυμαδὸν ἐξεβόησαν· 'χριστιανοί ἐσμεν, ὦ
Λυσία· δαίμοσιν οὐ θύομεν, κωφὰ καὶ ἀναίσθητα οὐ σεβαζόμεθα
ξόανα. τῷ προστάγματι οὐχ ὑπείκομεν τῶν βασιλέων σου, τῶν σῶν
ἀπειλῶν καταφρονοῦμεν· οὐ φοβούμεθα ξίφη, οὐ πτοούμεθα θηρίων
ἀγρίων ὠμότητα, οὐ δειλιῶμεν κάμινον, τροχῶν ἢ βρόχων οὐ φροντί-
ζομεν, ἀλλὰ καὶ αὐτὸς ὁ θάνατος γλυκὺς ἡμῖν καταφαίνεται. ἕνα
θεὸν καὶ φοβούμεθα καὶ σεβόμεθα· τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν,
τὸν δημιουργὸν πάντων, τῶν τε ὁρωμένων καὶ ἀοράτων. αὐτῷ μόνῳ
286 θύσωμεν | θυσίαν αἰνέσεως, αὐτῷ προσκυνήσωμεν καὶ προσπέσωμεν,
αὐτῷ προσενέγκωμεν λατρείαν καθαρὰν καὶ ἀναίμακτον.'

ὀργῆς ἐπὶ τούτοις ὁ Λυσίας ἐμπίπλαται, ἀνάπτει τὸ θυμικόν, 3
ἄγριον ἐνορᾷ, παράφορα φθέγγεται, ἀσήμῳ ἐκβοᾷ τῇ κραυγῇ· 'τοὺς
ἀλιτηρίους τούτους, τοὺς παλαμναίους καὶ αὐθάδεις καὶ ὑβριστὰς τῶν
περιβολαίων ἀπογυμνώσατε καὶ κατὰ γῆν τείναντες σφοδρῶς ἐκ τεσ-
σάρων τοῖς βουνεύροις αἰκίζετε, ὡς ἂν τῆς κατεχούσης αὐτοὺς ἀνα-
σφήλαντες μέθης εἴξωσι θεσπίσμασι τῶν βασιλέων.' ἐγένετο ταῦτα,
καὶ τὰ καλὰ ἐκεῖνα σώματα τοῖς βουνεύροις ἐξαίνοντο καὶ τῷ λύθρῳ
τοῦ αἵματος ἐφοινίσσοντο, αἱ σάρκες εἰς τὸ ἔδαφος ἔπιπτον καὶ οἱ
μάρτυρες ὑπομένοντες μάλα ἔχαιρον, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνό-
ματος παθεῖν τοῦ κυρίου. ὀψὲ δὲ τῶν βασάνων ἀνεθῆναι τούτους
κελεύσας ὁ τύραννος τῇ φυλακῇ ῥιφῆναι προσέταξεν. ἀχθέντες οὖν
οἱ ἅγιοι ἐν τῇ φυλακῇ καὶ τῷ ἐδάφει ῥιφέντες (κινεῖσθαι γὰρ ὑπὸ
τῶν πληγῶν οὐδ' ὅλως ἠδύναντο) τοιούτοις ὑπῆδον τοῖς ῥήμασιν·

'ἐλέησον ἡμᾶς, ὁ θεός, ἐλέησον. ἐπὶ σοὶ γὰρ πεποίθασιν αἱ ψυχαὶ
ἡμῶν, κατεπάτησαν ἡμᾶς οἱ ἐχθροὶ | ἡμῶν, ὅλην τὴν ἡμέραν πολεμοῦν- 288
τες ἔθλιψαν. ἀλλὰ βοήθησον ἡμῖν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ὅτι ἐκλείπει
ἐν ὀδύνῃ ἡ ζωὴ ἡμῶν.' τοιαύταις εὐχαῖς διὰ πάσης τῆς ἡμέρας ἐκλιπαροῦντες οἱ μάρτυρες τὸ θεῖον ἐξευμενίζοντο· καὶ δὴ καὶ τυγχάνουσι παρακλήσεως. ἄγγελος γὰρ ἐκείνῃ τῇ νυκτὶ τοῖς μάρτυσιν ἐπιστὰς ὑγιᾶ καὶ ἄρτια τὰ τούτων πεποίηκε σώματα.

4 τῇ δὲ ἑξῆς πάλιν τὸν Λυσίαν ὁ τυραννικὸς εἶχε θρόνος, καὶ 'τοὺς καταδίκους, εἴγε καὶ μικρόν', φησίν, 'ἐμπνέουσι, βαστάσαντες ἄξατε, ὅπως μάθω, εἰ τὴν πρὸς θεοὺς εὐσέβειαν ταῖς πληγαῖς ᾑρετίσαντο.' ποῦ γὰρ καὶ βαδίζειν αὐτοὺς ὑπετόπαζε; καὶ κατὰ μικρόν, ὢ τοῦ ξένου θαύματος, ὁρᾷ τοὺς μάρτυρας τῶν ἀπεσταλμένων προτρέχοντας καὶ ὑγιεῖς παρεστῶτας τῷ βήματι. καὶ ὁ δικαστὴς τούτους θεασάμενος καὶ ἐκπλαγεὶς ἔφη· 'μὰ τοὺς θεούς, γόητές ἐστε καὶ φαρμακοί. ὅμως εἴπατε· τίς ὑμῶν ἡ πατρὶς καὶ τί τὸ ὑμέτερον ἐπιτήδευμα;' πρὸς ὃν ὁ μακάριος ἔφη Δαμιανός· 'ἐξ Ἀρραβίας ὁρμώμεθα, δικαστά, τὴν ἰατρικὴν μετιόντες ἐπιστήμην, ψυχικῶν καὶ σωματικῶν
παθημάτων ὄντες ἀκέστορες τῇ ἐπικλήσει τοῦ σωτῆρος ἡμῶν Χριστοῦ.' | 290
ὡς δὲ τὸ τοῦ Χριστοῦ ὄνομα ὁ παράνομος ἤκουσεν, ἐξαγκωνισθῆναι τοὺς ἁγίους ἐκέλευσε καὶ ταῖς στρέβλαις ἐπὶ τοσοῦτον τὰς χεῖρας αὐτῶν στρεβλοῦσθαι, ὥστε τῶν δακτύλων αὐτῶν αἷμα ῥεῖν τῇ τῆς βασάνου ὑπερβολῇ. ὡς δὲ καὶ ταύταις ταῖς ἀνυποίστοις κολάσεσιν ἐκαρτέρουν οἱ μάρτυρες, ἐπὶ ξύλων ἀναρτηθῆναι ὁ ἀσεβὴς ἐγκελεύεται καὶ ὄνυξι σιδηροῖς τὰς πλευρὰς ξέεσθαι. ἐξέοντο οὖν οἱ καλλίνικοι, τὸ αἷμα κρουνηδὸν κατεφέρετο· αἱ πλευραὶ τῶν σαρκῶν ἐψιλώθησαν, καὶ οἱ πάσχοντες ὀδυνώμενοι ἔλεγον· 'ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, κύριε, ὅτι ἐξελίπομεν. βοήθησον ἡμῖν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.' ταῦτα εἶπον, καὶ οἱ ξέοντες παρείθησαν καὶ οἱ μάρτυρες θείᾳ δυνάμει τῶν δεσμῶν ἀπελύθησαν καὶ ὑγιωθέντες τῷ τυράννῳ παρέστησαν. ἀλλ' ὁ Αἰθίοψ ταῖς θεοσημείαις ταύταις οὐκ ἐλευκαίνετο, ἀλλὰ τορόν τι καὶ γεγωνὸς ἐξεβόησεν· 'ἄρατε ἐντεῦθεν τοὺς γόητας, τῇ θαλάσσῃ τοὺς πλάνους ἐμβάλετε· θαλαττίοις ῥεύμασι τοὺς ἐπαοιδοὺς ὑποβρυχίους ποιήσατε, ὡς μηδὲ μικρὸν λείψανον τῶν ἀνοσίων
αὐτῶν σω|μάτων τῇ χέρσῳ ὑπολειφθὲν μιαρίας ἐμπλήσῃ τὴν οἰκου- 292
μένην.' ταῦτα ἀποφηνάμενος δρομαίως ὑπεξῆλθε τὸ στάδιον.

3, 14 Ps. 56 (57),2 15 ebd. 55 (56),2

Arabisches Martyrium II Hs: B[2] 4,15 *ἀνϋποίσταις*, über *αις* steht *οις* B[2] | 26 *ἐμβάλλετε* B[2] verb. W

ἤγοντο οὖν οἱ μάρτυρες τὴν ἐπὶ θάλασσαν καὶ ὁδεύοντες ἔψαλλον· 5
‘κύριε, σὺ ἐδοκίμασας ἡμᾶς καὶ ἔγνως, πάσας τὰς ὁδοὺς ἡμῶν προεῖδες. ἐὰν γὰρ καὶ εἰς τὰ ἔσχατα τῆς θαλάσσης κατασκηνώσωμεν, κἀκεῖ ἡ χείρ σου ὁδηγήσει ἡμᾶς καὶ ἡ δεξιά σου καθέξει.’ καταλαβόντες δὲ τὸν αἰγιαλὸν καὶ τῆς γῆς ὡσεὶ σταδίους ἀναχθέντες πεντήκοντα, χεῖρας τε καὶ πόδας δεθέντες καὶ ἤδη μέλλοντες ἀκοντίζεσθαι πρὸς τὸν δυνάμενον σῴζειν ἀπὸ καταιγίδος τοῖς τῆς διανοίας οἱ ἅγιοι ἐνητένιζον ὀφθαλμοῖς καὶ ‘μὴ καταποντισάτω ἡμᾶς καταιγὶς ὕδατος’, ἔλεγον, ‘μηδὲ καταπιέτω βυθὸς τοὺς διὰ τὸ σὸν ὄνομα ταῦτα πάσχειν ἑλομένους.’ ταῦτα εἶπον καὶ τοῖς θαλαττίοις βυθοῖς ἀπερρίφησαν. ὁ δὲ τῆς δεήσεως τῶν φοβουμένων αὐτὸν εἰσακούων κύριος ἄγγελον εἰς βοήθειαν αὐτῶν ἐξαπέστειλε, καὶ ἀθιγεῖς κακῶν ὑπὸ τῶν κυμάτων βασταζόμενοι τῇ ξηρᾷ παρεδόθησαν. οὐκ ἔλαθε ταῦτα τὸν ἀτίθασσον τύραννον, ἀλλά τινες τῶν χαιρεκάκων προσελθόντες τῷ ἡγεμόνι
294 | ἀπήγγειλαν· ‘γνωστὸν ἔστω σοι, δικαστά, ὅτι, οὓς πρὸ πέντε ἡμερῶν τῇ σῇ κελεύσει ὁ βυθὸς ὑπεδέξατο, ζῶντας τῇ χθὲς ἡμέρᾳ καὶ παρὰ τὸν αἰγιαλὸν ὁδεύοντας εἴδομεν.’ θαμβηθεὶς οὖν ἐπὶ τῷ παραδόξῳ τοῦ ἀκούσματος ὁ ἡγεμὼν ‘ἀπὸ πόσων σταδίων τῆς ξηρᾶς τούτους ἠκοντίσατε τῷ βυθῷ;’ τοὺς ἀπαγαγόντας ἠρώτησεν, οἱ δέ· ‘ἀπὸ πεντήκοντα, κύριε ἡμῶν ἡγεμών, μὰ τὰς θείας κεφαλὰς τῶν ἀηττήτων ἡμῶν βασιλέων.’ καὶ παραχρῆμα ἐκπέμπει συλλαβέσθαι αὐτούς· οὓς καὶ συλλαβόμενοι τῷ τοῦ δικάζοντος προσήγαγον βήματι. οἷς καὶ βλοσυρῷ ἀτενίσας τῷ ὄμματί φησιν· ‘εἴπατέ μοι, γόητες, ποίαις μαγγανείαις χρησάμενοι ἐπᾴσμασί τε καὶ ἐπῳδαῖς καὶ αὐτῶν τῶν διαποντίων βυθῶν ἀνώτεροι κατεφάνητε; μὰ τοὺς ἀθανάτους θεούς, εἰ μὴ τὰς ὑμῶν γοητείας εἰς τοὐμφανὲς ἐκκαλύψαι θελήσητε, οὐ φείσομαι ὑμῶν, ἀλλὰ πυρικαύστους ὑμᾶς ποιήσας τελείως ἀποτεφρώσω.’ καὶ οἱ ἅγιοι· ‘οὐ μαγικαῖς, ἄρχον, περινοίαις ἢ ἐπαοιδῶν τερατεύμασι τῶν θαλαττίων ῥοῶν ἐξεβράσθημεν, ἀλλὰ τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
296 οὗ τῇ ἐπικλήσει θάλασσα διίσταται, δαίμονες δραπετεύουσι, νεκροὶ | ἀνίστανται καὶ παράδοξα σημεῖα τελεῖται.’ ἤκουσε ταῦτα ἡ θεομισὴς ψυχὴ καὶ οὐκέτι καθεκτὸς ἦν ὑπὸ τοῦ θυμοῦ, ἀλλ’ ἐβόα, ἐδυσφήμει καὶ εἰς αὐτὸν ἐξύβριζε τὸν Χριστόν· καὶ αὐτίκα ἐβλάβη τὸν νοῦν καὶ φρενίτιδι περιπέπτωκε νόσῳ καὶ ὅλως ἦν ἐξεστηκὼς καὶ παράφορος. οἱ δὲ μάρτυρες τὸ γεγονὸς θεασάμενοι καὶ οἶκτον αὐτοῦ λαβόντες μόνῃ προσευχῇ ὑγιᾶ τοῦτον ἀποκατέστησαν. καὶ πάλιν ὁ Λυσίας Λυσίας ἦν, μᾶλλον δὲ κύων λυσσητὴρ καὶ αἱμοβόρος, καὶ πάλιν τὸ δεσμωτήριον εἶχε τοὺς μάρτυρας, οἱονεὶ μισθὸν τῆς θεραπείας ὁ ἀχάριστος ἀπονέμων τοῖς μάρτυσιν.

5, 2 Ps. 138 (139),1 7 ebd. 54 (55),9 8 ebd. 68 (69),16

6 ἡμερῶν δὲ οὐκ ὀλίγων διελθουσῶν καὶ τῶν μαρτύρων τῇ εἱρκτῇ
κακοπαθούντων πάλιν ὁ Λυσίας σοβαρὸς ἐπὶ τοῦ βήματος ἐκαθέζετο
καὶ πάλιν ἀγωγίμους ποιεῖται τοὺς μάρτυρας. ὡς δὲ καὶ παρέστησαν,
'μετεμάθετε, κατάρατοι, τὴν εὐσέβειαν ἢ ἀκμὴν τῆς πλάνης ἀντέχεσθε;'
καὶ οἱ μάρτυρες· 'τί μάτην πονεῖς, ὦ δικαστά, ἀνηνύτοις ἐπιχειρῶν;
οὐχ αἱρήσεις ἡμᾶς, ἴσθι· ἀκαθάρτοις οὐ θύομεν δαίμοσιν, οὐ μὰ τοὺς
ἄθλους, οὓς ὑπὲρ τῆς εὐσεβείας ὑπομένομεν.' τότε κάμινον ἀναφθῆναι
κελεύει, τῆς Χαλδαϊκῆς παραπλησίαν, καὶ τοὺς | ἁγίους εἰς τὸ ταύτης 298
βληθῆναι μεσαίτατον. τῆς καμίνου οὖν ἐξαφθείσης καὶ τῶν ἁγίων
ταύτῃ δεδεμένων ἀπορριφέντων θαῦμά τι συνέβαινε ξένον καὶ κατὰ πολὺ
τοῦ γεγονότος ἐπὶ τῆς καμίνου ἐκείνης, ἣ τοὺς τρεῖς παῖδας περι-
έθαλπε τότε, παραδοξότερον. ἐκεῖ μὲν γὰρ ἡ κάμινος κυρτωθεῖσα
τοὺς νεανίας ἔνδοθεν δίκην θαλάμου κατεῖχε χορεύοντας, ἐνταῦθα δὲ
ἡ γῆ χανοῦσα ἐν τῷ κόλπῳ τοὺς ἁγίους ἐδέξατο αἰνοῦντας τὸν θεὸν
καὶ δοξάζοντας. ἡ δὲ κάμινος ἐκδραμοῦσα πολλοὺς ἐλυμήνατο τῶν
ὑπηρετῶν, καὶ ἡ γῆ μετὰ τὸ ὑπεκδραμεῖν καὶ ὑπομαρανθῆναι τὴν
φλόγα σώους ἀνεδίδου τοὺς ἀθλητὰς καὶ ἀπαθεῖς κακῶν. πολλοὶ οὖν
τῶν Ἑλλήνων τῷ παραδόξῳ ἐκπλαγέντες τοῦ θαύματος τῷ κυρίῳ
ἐπίστευσαν καὶ μεγάλῃ τῇ φωνῇ ἀνεβόησαν· 'θαυμαστὸς ὁ τῶν χρι-
στιανῶν θεός, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἕτερος.' τούτων τῶν φωνῶν
ὁ Λυσίας ἀκούσας καὶ φοβηθείς, μή τις νεωτερισμὸς γένηται, φυγὰς
ἀπέδρα τοῦ βήματος, τοῦτο μόνον μετὰ σπουδῆς ἐπειπών· 'καθείρξατε
τοὺς ἀλάστορας.'

7 μετὰ τοῦτο κρεμασθῆναι τοὺς μάρτυρας καὶ λιθοβοληθῆναι κελεύει,
εἶτα καὶ τοξευθῆναι. ἀλλὰ τῶν μαρτύρων οὐδεὶς | ἐτραυματίσθη τοῖς 300
μέλεσιν, ἀλλ' οἱ τοξεύοντες, ὢ τοῦ μεγίστου θαύματος, ἑαυτοὺς ἐτί-
τρωσκον, τῶν βελῶν ἀνθυπονοστούντων καὶ ταῖς καρδίαις τῶν βαλ-
λόντων πηγνυμένων. τιτρωσκόμενοι δὲ τοῦ ζῆν ἀπηλλάττοντο, καὶ
συχνοὶ βαλλόμενοι ἔπιπτον. ἐξαπορηθεὶς οὖν ἐπὶ τούτοις ὁ τύραννος
καὶ μετὰ τῶν ἑαυτοῦ δαιμόνων αἰσχυνθεὶς καὶ ἡττηθεὶς κατενεχθῆναι
τοὺς καλλινίκους ἐκέλευσε καὶ τὸν διὰ ξίφους ὑπομεῖναι θάνατον ἀπε-
φήνατο. ἦγοντο οὖν οἱ γενναῖοι ἐπὶ τὸν τόπον τῆς τελειώσεως καὶ
πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως. ὡς δὲ καὶ τὸν χῶρον κατέλαβον,
εἰς ὃν τελειοῦσθαι ἔμελλον, τὰς χεῖρας εἰς ὕψος ἄραντες προσηύξαντο
λέγοντες· 'κύριε, κύριε, ἡ ἐλπὶς ἡμῶν καὶ βοήθεια, ὁδήγησον ἡμᾶς εἰς
ὁδὸν αἰωνίαν, ὅτι τῆς σῆς ἀγάπης οὐδὲν τῶν ἁπάντων ἡμῖν ὅλως
προετιμήθη, ἀλλὰ διὰ σὲ καὶ αὐτὴν τὴν ζωὴν προηκάμεθα καὶ ὡς
πρόβατα σφαγῆς ἐλογίσθημεν. καὶ νῦν ἱκετεύομεν· ἀνάγαγε ἡμᾶς

6, 8 Asar. 24   12 Dan. 3,23   7, 12 Ps. 138(139),24   14 Ps. 43(44),23

ἀνεμποδίστως εἰς τὸ σὸν θυσιαστήριον, καὶ μὴ ἐάσῃς ἡμᾶς θεάσασθαι
τῶν ἐναντίων ὄψεις, ἀλλ' εἰς τὰς αἰωνίας σου σκηνὰς πρόσδεξαι καὶ
τοῖς ἀπ' αἰῶνός σοι εὐαρεστήσασι συναρίθμησον. καὶ δώρησαι δὲ καὶ
302 τοῖς διὰ τιμῆς | τὴν ἡμῶν μαρτυρίαν ἄγουσι βίον ἀπρόσκοπον, ἀγαθῶν
βασίλειαν, συγγνώμην ἁμαρτιῶν, ὀφλημάτων ἄφεσιν καὶ ψυχῶν καὶ
σωμάτων ἴασιν, ὅτι σὺ εἶ τῶν νοσούντων ἰατρὸς καὶ τῶν πεπτωκότων
ἐπανόρθωσις εἰς τοὺς αἰῶνας· ἀμήν.' ταῦτα εἰπόντες καὶ ἀλλήλους
ἀσπασάμενοι καὶ τὸν αὐχένα πρῶτος ὁ θεῖος ὑποκλίνας Κοσμᾶς, εἶτα
καὶ οἱ λοιποὶ ἀκολούθως, τὰς τιμίας ἀπετμήθησαν κεφαλάς, ἑπτα-
καιδεκάτην τοῦ ὀκτωβρίου μηνὸς ἄγοντος, εἰς δόξαν Χριστοῦ τοῦ
ἀληθινοῦ θεοῦ ἡμῶν, ᾧ πρέπει τιμὴ καὶ κράτος καὶ μεγαλοπρέπεια
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Register

I Wortregister

Das Wortregister strebt keine Vollständigkeit an, sondern verzeichnet nur das, was in sprachlicher oder sachlicher Beziehung irgend bemerkenswert erschien. Besonderer Wert ist auf alles Medizinische und überhaupt Antiquarische gelegt worden. Gelegentlich finden sich erklärende Bemerkungen und Hinweise auf grammatische Literatur. Öfter zitiert werden in diesem und dem grammatischen Register: Kühner-Blaß = Kühner *Ausf. Gramm. d. gr. Spr.* bearb. von Blaß, Mayser = Mayser *Gramm. d. gr. Papyri aus d. Ptolemäerzeit* (wo die früheren Arbeiten zur Grammatik des späteren Griechisch vortrefflich verwertet sind und fortlaufend auf sie hingewiesen wird), Theodosios = Usener *Der heilige Theodosios,* Krumbacher = Krumbacher *Studien zu den Legenden des h. Theodosios, Sitzungsber. d. bayr. Akad.* 1892 phil.-hist. Cl. 220 ff. Die Lexika von Du Cange und Sophokles werden mit den Namen ihrer Verfasser zitiert. Bei der Wiedergabe grammatischer Konstruktionen habe ich mich auf die dazu nötigen Worte des Textes beschränkt. L = Leben, R = Römisches Martyrium, A = Arabisches Martyrium I, a = Arabisches Martyrium II; Wunder sind nur durch ihre Zahlen bezeichnet, römische Zahlen beziehen sich auf die Vorreden der betreffenden Serien (bei Serie VI auf die Überleitung). T = Titel.

II Grammatisches Register

Vergleiche wegen der Abkürzungen die Vorbemerkung zum Wortregister.

III Register der Bibelstellen

Die Zahlen beziehen sich auf die Seiten dieser Ausgabe.

IV Vergleichende Tabelle der Seitenzahlen

bei Wangnereck	in dieser Ausgabe
6— 22	87— 96
230—256	208—217
278—302	220—225
302—384	97—128
386—442	134—149
442—490	151—166
490—494	171—172
494—518	128—134
518—542	179—183

Berichtigungen und Nachträge

Zu S. 26/27. Gegen die hier gezogene Folgerung, daß die Vorrede I von dem verfaßt wurde, der die Serien I und II zusammenfügte, könnte geltend gemacht werden, daß die Hs V[9] die Vorrede und nur Serie I enthält. Doch ist der Einwand nicht unbedingt zwingend, da die Serie II auch nachträglich wegfallen konnte.

Zu S. 32. Die Datierung des Maximos wird bestätigt durch Wunder 40, 1 ff., wo der Großlogothet Akropolites erwähnt wird. Georgios Akropolites wurde im Jahre 1244 zum Großlogotheten ernannt, vgl. Krumbacher *Gesch. d. byz. Lit.*[2] S. 286. Sein Tod (1282) liegt der Wundererzählung voraus, vgl. Z. 31 *καὶ μετὰ θάνατον τῷ θαύματι μαρτυρεῖ.*

Zu S. 36. Die Qualität der Hss bemißt sich nach ihrem Alter.

Zu S. 51. Z. 5 v. o. und Z. 4 v. u., sowie S. 65 Z. 11 v. o., ist statt Kyrrhus Kyrrhos zu lesen.

Zu S. 59, 1. In dem soeben erschienenen Aprilhefte des *Expositor* (1907) veröffentlicht E. E. Kellett p. 374 ff. *Some notes on christian dioscurism.* Er knüpft an die erwähnte Arbeit von R. Harris an, sowie an eine neuere von demselben Verfasser: *The cult of the heavenly twins.* Der Aufsatz handelt hauptsächlich über die indogermanische Vorstellung von einem himmlischen Zwillingspaar. Die Geschichte vom Weißen und Schwarzen Heuvald (Beda *hist. eccl.* V 10) wird ohne stichhaltigen Grund als Nachwirkung dieser Vorstellung betrachtet (p. 379).

Zu S. 65. Die Erwähnung von Kyrrhos als Ruhestätte der Heiligen findet sich nur in einer der beiden Hss des Wunders 12, die andere spricht allgemein vom Orient. Es ist danach möglich, daß Kyrrhos ursprünglich nicht erwähnt war. — Zu den Hss, die im *Leben* 3, 13 *μαρτύρων* statt *δούλων* bieten, ist P[3] hinzuzufügen. — Der Titel *ἀνάργυροι* findet sich auch Wunder 14, 4 in allen Hss, aber er steht in den einleitenden Sätzen, die der alten Wundererzählung offenbar später vorangestellt sind.

Zu S. 68. Der Vaticanus 866 erwähnt als Festtag der römischen Märtyrer im syromakedonischen Kalender den 18. Dios, vgl. den Apparat auf S. 217 Z. 9 v. u. Das Datum entspricht dem 18. November, vgl. Dittenberger bei Pauly-Wissowa *Real-Enzyklopädie* u. Dios Sp. 1081, 64.

Zu S. 78 A. Derselbe Vaticanus nennt an der gleichen Stelle Z. 8 v. u. als Festtag derselben Märtyrer im ägyptischen Kalender den 24. Paoni, was wohl auf Verwechslung mit dem Festtag der asiatischen Heiligen (22. Paoni) beruht, die ihrerseits bereits mit den Arabern kontaminiert sind. Es geht eben schließlich alles durcheinander.

Zu S. 82 f. Wunder 30, 20 wird erwähnt *τὶς τῶν μεγάλων ἀνδρῶν, Λεόντιος τοὔνομα*, dargestellt auf einem Gemälde, wie es scheint mit den Heiligen und der Mutter Gottes, also als Donator. Der Verfasser des Wunders las den Namen des Leontios auf dem Bilde, seine Stellung konnte er nur aus der äußeren Erscheinung erschließen, daher die unbestimmte Angabe. Wenn der dargestellte Grandseigneur Leontios von Byzanz war — was keineswegs sicher auszumachen ist —, so erhielten wir für diese Wundererzählung als *terminus post quem* den Tod des Leontios (um die Mitte des VI Jh, vgl. Krumbacher *Gesch. d. byz. Lit.*[2] S. 55). Das würde allerdings gut dazu passen, daß Lucius gerade auf Grund des Bilderkultes, der auch im Wunder 30 eine Rolle spielt, die zweite Hälfte des VI Jh als Entstehungszeit für die Wundergeschichten annimmt.

Zu S. 86. Textänderungen, die von mir herrühren, sind im Apparat nicht besonders gekennzeichnet.

Zu S. 217. Im Apparat Z. 2 v. u. lies *ἁγίου.*

Zu S. 230. Unter *ἐν* füge am Schluß hinzu: Aristoph. Wesp. 642 *σκορδινᾶται κἄστιν οὐκ ἐν αὑτοῦ.*

Zu S. 232. Unter *κύριος* füge hinzu: vgl. Buecheler *Rh. Mus.* LXII (1907) 155 f.


89044761344
b89044761344a

